εἰς τὴν Κωνσταντίνου ἀποπλεῦσαι σὺν αὐτῷ κἀγὼ τὴν ὁδοιπορίαν πεποίηκα· μετὰ δὲ τὸ εἰσιέναι με ἐν αὐτῷ εὗρον τότε τὸν πατριάρχην κὺρ Νεόφυτον ἐκ τῆς ἐξορίας ἐπαναστραφέντα· ***ὑπερόριος τὸ πρῶτον τυγχάνων ὑπὸ τοῦ ἐξώσαντος αὐτὸν ἀθέσμως τε καὶ παρανόμως Ραφαήλου*** (ὅς καὶ κακὸς κακῶς τῶν τῆδε ἀπηλλάχθη) σὺν αὐτῷ καὶ μετ᾽ αὐτὸν τῷ κ. Τιμοθέῳ τὰς διατριβὰς ἐν τῷ πατριαρχείῳ ἐποίουν· καὶ διὰ τῆς αὐτῶν δαπάνης παρὰ τοῖς Ἰησουΐταις ἐφοίτουν, μέχρις οὗ καὶ εἰς Ρώμην ἀφικόμην σπουδῆς ἕνεκα καὶ ἔρωτος παιδείας· ἐρίσας πρῶτον, ὡς προέφην, Ἱλαρίωνι. (Περὶ οὗ καὶ ἐπιστολὰς ἐδεξάμην ἐν Ρώμῃ δηλοποιούσας τὸν αὐτοῦ θάνατον κακῶς ἀπαλλαχθεὶς τῆς παρούσης ζωῆς (349β). Ἔπειτα ὁ ἁγιώτατος Π/χης τῆς Κωνσταντίνου Τιμόθεος ὑπὸ τοῦ ἁγίου πνεύματος παρακινηθεὶς ἀκριβῶς πάντα τὰ αὐτοῦ συγγράμματα ἐρευνήσας καὶ μεστὰ αὐτὰ εὑρὼν οὐκ ὀλίγων αἱρέσεων, πυρὶ πάντα παραδέδωκε μηδὲν παραλιπὼν τὸ παράπαν). Μετὰ δὲ τὴν εἰς Ρώμην ἐμὴν ἄφιξιν, οὐκ οἶδ᾽ ὅπως, φεῦ τῆς ἐμῆς δυστυχίας, μὴ δυνηθεὶς εἰς τὸ τῶν Ἑλλήνων φροντιστήριον εἰσιέναι πρόσηβος ὢν τὴν ἡλικίαν— ἐπεὶ παῖδας ἐν αὐτῷ μόνον βούλονται —ἔστην ἔξω αὐτοῦ ἐπιμελούμενος παρὰ τῆς ἐκκλησίας κατὰ πάντα, ἐν Ρώμῃ τὰς διατριβὰς ποιούμενος, ἐν ᾗ ὅταν εἰσῆλθον, εὗρόν τινα, τὸ μὲν σχῆμα μοναχός, τὴν δὲ φύσιν καὶ τὸν τρόπον, οὐχ ἧττων τοῦ διαβόλου, ἀλλὰ κυρίως αὐτὸς ἐκεῖνος ὁ ἐκ τῶν οὐρανῶν ἐκτραχηλισθεὶς διὰ τὴν ἔπαρσιν καὶ τῇ μὲν εὐσεβείᾳ ὑποκριτὴς ἦν ἄριστος, ὡς οὐδεὶς ἄλλος τῶν Φαρισαίων πώποτε, τῇ δὲ κενοδοξίᾳ, οὐδ᾽ αὐτὸς ὁ ἑωσφόρος, ὁ δι᾽ αὐτοῦ σκότος καὶ διάβολος γενόμενος καὶ καλούμενος κατὰ πάντα διεστραμμένος τὴν γνώμην καὶ τὴν διάνοιαν. Οὗτος δὲ τοίνυν τὸ μὲν γένος ἦν θάτης, οὕτω γὰρ οὗτος τοῦτο ἐπέγραψε, ὅ αὐτὸς ἔγωγε εἶδον, πρὸς τὸν πατέρα αὐτοῦ γράφοντα οὕτω : τῷ προσφιλεστάτῳ μου πατρὶ κ.κ. τῷ Λιγνῷ τῷ ἀπὸ τὰ Θὰ ἐγχειρισθείη. Καὶ πάλιν εἰς τὰ Θὰ τῆς Ρόδου φησίν· καὶ ὡς ἡγοῦμαι χωρίον τι παρὰ τῇ Ρόδῳ ἔστιν, οὕτω καλούμενον· μὴ εὐπορῶν γοῦν ὁ πατὴρ αὐτοῦ τὰ πρὸς τροφὴν αὐτοῦ, οὐ μόνον οἴκοι ἀλλ᾽ οὐδὲ τὰ πρὸς (350) τὴν ὁδὸν αὐτοῦ ἐφόδια, πέμπων αὐτὸν εἰς Ἀλεξάνδρειαν (ὡς αὐτὸς μὲν καθ᾽ αὐτὸς (sic) διηγήσατο). Ὅπως διὰ μεσιτείας τινων λινδιακῶν δυνήσεται σταθῆναι μετὰ τοῦ Πατριάρχου, ἵνα μὴ λιμοκτονηθῇ.

B α 2

(Βιβλιοθήκη τῆς Ἁγίας Γενοβέφας σελ. 51)

Legrand, Bibliographie hellénique XVII siècle tome III σελ. 422-425

Οἱ ἐν ταύτῃ τῇ βασιλίδι τῶν πόλεων ἅμα τε τοῖς πέριξ αὐτῇ τόποις Περινθίοις, καὶ κατὰ πᾶσαν πόλιν καὶ χώραν τῆς ὑπ᾽ οὐρανὸν (ὁ Legrand γράφει ἐπ᾽ οὐρανὸν) ὀρθοδόξου τοῦ Χριστοῦ ἐκκλησίας εὑρισκόμενοι ἁγιώτατοι καὶ μακαριώτατοι πατριάρχαι.... (ἀκολουθεῖ τὸ προοίμιον).

Διὸ τοίνυν καὶ τὸν παρόντα τιμιώτατον καὶ σοφώτατον ἐν ἱερουργοῖς καὶ πνευματικοῖς πατράσι, διδάσκαλόν τε καὶ πρωτοσύγκελλον τῆς τοῦ Χ. Μ. Ἐκκλησίας κύριον Ἀθανάσιον τὸν Ῥήτορα εὑρόντες ἄνδρα παντοίᾳ ἀρετῇ παντοδαποῖς τε κεκοσμημένον μαθήμασι καὶ δίδομεν αὐτῷ ἐξουσίαν τοῦ διδάσκειν ἐν πάσαις ταῖς τῶν χριστιανῶν ἐκκλησίαις τὸ ἱερὸν εὐαγγέλιον καὶ πᾶσαν θεόπνευστον γραφὴν κατὰ τὰς ἑρμηνείας μέντοι καὶ ἐκδοχὰς τῶν θείων διδασκάλων καὶ πάσης τῆς ὀρθοδόξου ἐκκλησίας, ᾗ μόνῃ τὸ περὶ ταῦτ' ἀπλανὲς περιγράφεται καὶ δογματίζειν ὅσα τῆς ἐκείνων ἐξημμένα (ἐξηγμένα;) τυγχάνει διανοίας καὶ πίστεως.... ἔξεστι καὶ πᾶν ἱερατικὸν ἐκτελεῖν λειτούργημα μετ' εἰρήνης ὅμως καὶ θελήσεως τοῦ κατὰ τόπον ἐφεστῶτος...... ἐν ταῖς ἱεροτελεστίαις ὑπογονάτιον φέρειν· κἂν ταῖς τῆς ἐκκλησίας συνάξεσί τε πάσαις, πᾶσι τ' ἔθεσι, μὴ τελεσιουργοῦντι πῖλον μετ' ἐρυθροβαφοῦς σταυροῦ, μανδύαν τε περιβάλλεσθαι ποταμώδη καὶ βακτηρίαν τῇ χειρὶ κατέχειν ἅτε πρωτοσυγκέλλῳ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας προχειρισθέντι ὑπὸ τοῦ πρὸ ἡμῶν νομίμως καὶ ὁσίως τῆς βασιλίδος ταύτης λαβόντος τοὺς οἴακας μακαρίτου Τιμοθέου, καὶ ὑπὸ τοῦ πρὸ αὐτοῦ τὴν ἄνω λῆξιν λαχόντος κυρίου Νεοφύτου τοῦ προηγησαμένου τῆς ἡμῶν μετριότητος........... καὶ τὰ προνόμια ταῦθ' ἅπερ ἡμεῖς οἱ νῦν ἀνανεοῦντες συγχωροῦμεν, ὑπ' ἀμφοτέρων σφῶν αὐτῶν εὐνοίᾳ κινηθέντων.. .... πρὸς δὲ καὶ τοὺς ἐξ οἱασοῦν ἀπιστίας ἢ αἱρέσεως ἢ σχίσματος ὁποιουοῦν βουλομένοις προσιέναι καὶ ἐπιστραφῆναι πρὸς (τὴν) ἀληθινὴν ἀμώμητον καὶ καθολικὴν ἡμῶν πίστιν δέχεσθαί τε καὶ πείθειν αὐτούς... καὶ μοναχοὺς ἀποκείρειν.

Ἔτει αχμδ´ μηνὶ Μαρτίῳ ἰνδικτιῶνος δευτέρας

Παρθένιος ἐλέῳ Θεοῦ.......

Κάτωθεν ἰταλιστὶ σημειοῦται: ἐπιβεβαιωτήριον τῆς γνησιότητος τοῦ πατριαρχικοῦ γράμματος· ἡ ἐπιβεβαίωσις ἐγένετο ἐν Πέραν 20 Ἀπριλίου 1653 ἐνώπιον τοῦ Γάλλου πρεσβευτοῦ de la Haye, τοῦ γραμματέως τῆς Πρεσβείας καὶ δύο κληρικῶν τοῦ Πατριαρχείου, τοῦ χαρτοφύλακος Γεωργίου καὶ τοῦ πρωτεκδίκου Σοφιανοῦ.

B α 3

Orientalia Christiana τόμ. XXV σ. 284

Ἐθν. Βιβλ. Παρισίων Supplément grec ἀρ. 582: φυλλ. 1α

Μάϊος 1648

Ἰωαννίκιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τοῖς ἐντευξομένοις τῷ παρόντι ἱερωμένοις καὶ λαϊκοῖς υἱοῖς ἐν Κυρίῳ ἀγαπητοῖς τῆς ἡμῶν μετριότητος χάριν, εἰρήνην καὶ ἔλεος παρὰ Θεοῦ

παντοκράτορος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Γνωστὸν ὑμῖν εἴη ὅτι συγκεκραμένης οὔσης τῆς ἀνθρωπίνης φύσεως ἐκ ψυχῆς καὶ σώματος ἀνάγκη καὶ τὰς κινήσεις αὐτῆς καὶ τὰς ἐνεργείας τὸν αὐτὸν ἔχειν λόγον, τὰς μὲν κατὰ νοῦν καὶ προαίρεσιν, τὰς δὲ κατὰ σῶμα, ὡς θάτερον θατέρῳ ἀσυγκρίτως συμπεπλέχθαι. Ἑξὸν οὖν ἡμῖν ἄρα φάναι καὶ τὰ συμπίπτοντα αὐτῷ νόσον καὶ ὑγείαν, ἀρετὴν καὶ κακίαν, καταλλήλως εἶναι καὶ λέγεσθαι. Τοὺς οὖν κάμνοντας ὁπωσδήποτε κατὰ τὸ σῶμα ἰατροῖς αὐτοὺς ἐπιτρέπομεν πρὸς θεραπείαν τῆς καχεξίας, οὐ τοῖς ὀνόματι κούφῳ, ἀλλὰ τοὺς πράγματι ἐναβρυνομένους, οἵτινες ἂν ὦσι τῇ τέχνῃ ἐπιβολώτατοι, τοὺς δὲ κατὰ νοῦν τοὺς τὴν ψυχὴν ἔχουσι συναπηρτισμένην ἀρετῇ καὶ σοφίᾳ.

Ἑξέως (ἔξεως μᾶλλον) οὖν εὖ ἔχοντα τοιᾶσδε εὑρόντες τὸν τιμιώτατον καὶ σοφώτατον διδάσκαλον ἐν ἱερεῦσι κύριον Ἀθανάσιον τὸν Ῥήτορα τὸν κατὰ πνεῦμα υἱὸν ἀγαπητὸν τῆς ἡμῶν μετριότητος, πρὸς τὸ ἐκτελεῖν αὐτὸν ἀκωλύτως ἅπαντα τὰ τοῖς ἱερεῦσι προσήκοντα ὅπου ἂν εὑρεθείη εἰδήσει καὶ τοῦ κατὰ τόπον προϊσταμένου, δεδώκαμεν αὐτῷ ἄδειαν τοῦ κηρύττειν ἐπ᾽ ἄμβωνος τὸ ἱερὸν καὶ θεῖον εὐαγγέλιον καὶ τὰ λοιπὰ ἐκτελεῖν, ὅσα ἐμπεριέχεται τῷ βραβευθέντι αὐτῷ διπλώματι παρὰ τοῦ πρὸ ἡμῶν μακαρίτου πατριάρχου Κωνσταντινουπόλεως κυρίου Παρθενίου.

Ἐπὶ γὰρ τῇ τούτου δηλώσει καὶ ἀσφαλείᾳ ἐπεβράβευτο αὐτῷ τὸ παρὸν τῆς ἡμῶν μετριότητος ἀδείας γράμμα.

Ἐν μηνὶ μαΐῳ ἰνδικτιῶνος α΄.

B α 4

Orientalia Christiana τόμ. XXV σ. 285 — Μάρτιος 1652 — Ἐθν. Βιβλ. Παρισίων Supplément grec 582 : 6α

Ἰωαννίκιος ἐλέῳ Θεοῦ κλπ. . . . .

Τοῖς ἐντευξομένοις τῷ παρόντι ἱερωμένοις καὶ λαϊκοῖς ἐν οἱῳδήποτε βαθμῷ καὶ τάξει καθεστηκόσι χάρις εἴη ὑμῖν εἰρήνη καὶ ἔλεος παρὰ θεοῦ παντοκράτορος καὶ κυρίου ἡμῶν. Γνωστὸν ὑμῖν εἴη ὅτι τὰς περὶ τῆς καὶ ἀποβολῆς ἤτοι ἀποταγῆς τῆς συνταγῆς ὑποθέσεις, ἅς τινες βασκανίᾳ τοῦ αὐτοῦ πατρὸς εἰπόντες ἐπὶ τοῦ ὁπωσοῦν προηγησαμένου τῆς ἡμῶν μετριότητος *) πρὸς τὸν εὐλαβέστατον ἱερέα καὶ σοφώτατον διδάσκαλον κύριον Ἀθανάσιον τὸν Ῥήτορα, τὸν κατὰ πνεῦμα υἱὸν ἀγαπητὸν αὐτῆς ἔπλασαν καὶ τέως ἐπέσχον τῆς τῶν διηνεκότων πόνων ἐπιμήκιστον αὐτῷ γνησίως προσηκούσης ἐπαγγελίας, ἀκριβέστατα ἐρευνήσαντες καὶ μηδὲν τὸ παράπαν ἴχνος σκιᾶς λαβῆς, ἀλλ᾽ εἰλικρινῆ ψευδῆ ὅλως πλάσματα καὶ συκοφαντίας πάμπαν ἀλλοκότους τε καὶ ἀνωμάλους εὑρόντες δεδώκαμεν ἄδειαν τοῦ διδάσκειν τὸν λόγον τοῦ Θεοῦ καὶ ἱερουργεῖν καὶ ἅπαντα τὰ τοῖς

*) Ἐπὶ τῆς δευτέρας πατριαρχείας Παρθενίου Β'.

ἱερεῦσι προσήκοντα ἐκτελεῖν ὅπου ἄν εὑρεθείη παρὰ μηδενὸς κωλυομένῳ τὸ σύνολον.

Ὅθεν καὶ εἰς δήλωσιν ἐπεδόθη αὐτῷ τὸ παρὸν τῆς ἡμῶν μετριότητος ἀδείας γράμμα.

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ β′ ἐν μηνὶ μαρτίῳ ἰνδικτιῶνος ε′.

B β 1

Bibl. Nation. Paris suppl. grec 1027 φύλλ. 266β

Ἱλαρίωνι τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ Ἡρακλείας καὶ προέδρῳ τῶν ὑπερτίμων ὁ ἱερομόναχος Ἀθανάσιος εὖ πράττειν.

268β τὶς ἔστιν αἱρετικὸς σὺ ἢ ἐγώ; σὺ ὅς ἀποβάλλεις τὴν προσκύνησιν τῶν εἰκόνων; ἢ ἐγώ, ὅς πιστεύω πάντα, ἅ ἐπίστευσαν αἵ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι, καὶ μάλιστα αὐτὸς ὁ νῦν ἐμὸς καὶ οἰκουμενικὸς πατριάρχης; σὺ ὅς ὑβρίζεις αὐτὸν καὶ τὴν πίστιν αὐτοῦ, ἢ ἐγὼ ὅς τιμῶ αὐτὸν καὶ τὴν πίστιν αὐτοῦ;
276 νέου ἐλληνισμοῦ=(ἐθνικὴ λατρεία=εἰδωλολατρεία.)

Ἀθανάσιος ἱερομόναχος Ἡρακλείας Ἱλαρίωνι

289β οὗ δὲ (ὁ Ἱλαρίων) ἐξ ἑνὸς τοῦ τῆς Κρήτης χωρίου λεγομένου ἀποκόρωνα.

B β 2

Supplément grec 1027 φυλλ. 266—267

Ἱλαρίωνι τῷ πανιερωτάτῳ καὶ σοφωτάτῳ Ἡρακλείας καὶ προέδρῳ τῶν ὑπερτίμων ὁ ἱερομόναχος Ἀθανάσιος εὖ πράττειν.

Ἐμοὶ μὲν τὸ πρός σε γράψαι, πανιερώτατε, ἐξ ὅτου σοι τότε μὲν χαριζόμενος ἀνεχώρησα, μᾶλλον δὲ πληρῶν τῇ εὐαγγελικῇ φωνῇ τῇ λεγούσῃ, δότε τόπον τῇ ὀργῇ. Πολλάκις καὶ πολλαλῶς ἐνοχλήσατέ με, προὐκρίναμεν μᾶλλον θεραπεύειν σιωποῦντες (sic), ἢ γράφοντες παροτρύνειν· δεῖ γὰρ ἢ ὅ τρατεύεται παρά τισιν, πειθομένους, δεδολωμένους ἐπαίνους καὶ ἐξίτηλα προφέρειν τῇ σῇ ἐξουσίᾳ ἐγκώμια· ἀλλ᾽ ἀλήθειαν λέγοντες ὡς προσήκει, ἐν οἷς ἄν δέον τοιαῦτα ὡς ἔστι σοι πε(πα)ριστάνειν τὰ πράγματα, μηδαμῶς δεδιττομένους τὰς ὑμετέρας ἀπειλὰς τὰς παραλόγους τε καὶ τυραννικάς. Ἀλλ᾽ ἔμοιγε νῦν ὁ λόγος ἐπὶ τὴν ὑπόθεσιν βαδιζέτω. Ἀμυντικὸς γὰρ αὐτὸς. . . . . . ἐπεὶ τοσοῦτόν με ἐληδόρησας (sic)· τοῦτ᾽ οὖν ἐγὼ οὐ χρείαν λογιζόμενος, πρὸς σὲ ταύτην τὴν φαύλην χαράττω ἐπιστολήν, ἐπεὶ ἐν οὐδενὶ ταῦτα ποιοῦμαι ἀλλὰ σοῦ καὶ τῶν σῶν ψόγων ἐκπληξάντων με, δι᾽ ὧν ἔκρινα λύσαι τὴν

σιωπήν, καὶ γράψαι σοι, ἐπεὶ προφασίζεις μοχθηρῶς ὅτι μέλλω μετὰ τὸ ἀπάραι με τῆς Κωνσταντίνου γενέσθαι ἰεσουΐτην· (sic) καὶ ἀπορῶ πῶς τὸ ἀρχιερατικὸν ἀναβὰς ἀξίωμα χαρίσματος ἠξιώθης προφητικοῦ, ὥστε καὶ τῶν μελλόντων προβλεπτικὸν γενέσθαι· εὖγέ σοι πρόεδρε τῶν ὑπερτίμων μητροπολῖτα, λαμπρά σοι τὰ τῆς μητροπόλεως προοίμια· μὴ μὲ νομίσῃς δεδοικέναι ἀκούσαντά σου τὴν κενὴν καὶ ψευδῆν (sic) ἐκείνην κατηγορίαν, ὅτι πείθομαι τῷ Ρώμης ἐγὼ οὐ τοῦ Ρώμης ἀλλὰ τοῦ οἰκουμενικοῦ, λαγωοὺς ἐκδεδίττουσιν οὐκ ἐμέ· φανεροὶ οἱ τῷ πάπᾳ μόνον πειθόμενοι, καὶ πάλιν τινὲς (οὓς οἶδας) εἰ τῷ πάπᾳ ἐπείθοντο καλὸν καὶ τοῦτο, ἀλλ᾽ αὐτοὶ οὔτε τῷ Ρώμης, πείθονται οὔτ᾽ ἄλλῳ τινὶ πατριάρχῃ ἢ ἀρχιερεῖ, καίπερ φανερῶς ἐν τῷ αὐτῷ ἀξιώματι καὶ τῇ αὐτῇ ὑποταγῇ φαίνονται, ἀλλ᾽ οὐδόλως εἰς ταῦτα ὑπόκεινται. Καὶ τοῦτ᾽ ἴσως (ἴσως ἔχει τὸ χειρόγραφον) γνωρίζεις εἰ δ᾽ οὐκ οἶδας, δηλώσω σοι καὶ τότε γνωρίσεις, εἰ ἀρχιερεῦσι καὶ πνευματικοῖς τοῦτ᾽ ἔξεστι, μάλιστα δὲ καὶ σοφοῖς καὶ πῶς σοφὸν εἴποιμι τὸν τοιοῦτον ἢ φιλόσοφον, οὐ γὰρ φιλόσοφον κατὰ τὸν Ἰουστῖνον εἰπεῖν ἄξιον τὸν ἄνδρα, ἄπαγε, οὐ φιλόσοφος ἐκεῖνος, ἀλλ᾽ ὑπερφίαλος καὶ φιλόκομπος καὶ φιλόδοξος καὶ φιλόψογος, ὅς γε περὶ ἡμῶν ἃ μὴ ἐπίσταται δημοσίᾳ καταμαρτυρεῖ ὁ ὡς ἀθέων καὶ ἀσεβῶν χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδονὴν τὰ πολλὰ τὰ πεπλανημένα ταῦτα πράττειν, ἢ γὰρ μὴ ἐντυχὼν τοῖς τοῦ Χριστοῦ διδάγμασι, κατατρέχει ἡμῶν, παμπόνηρος ἔστι, καὶ ἰδιωτῶν πολὺ χείρων, οἱ φυλάττοντες πολλάκις περὶ ὧν οὐκ ἐπίστανται διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν· ἢ καὶ ἐντυχὼν τῷ ἐν αὐτοῖς μεγαλείῳ (μὴ συνῆκε) ἢ συνιεὶς πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος, ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγενὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ ἀλόγου δόξης καὶ φόβου ἐλάττων ὤν. Καὶ τοῦτο θαῦμα· ὁ εἰδὼς μὴ ποιῶν, καὶ ποιῶν ὁ μὴ εἰδώς. Εἰ σοφὸς εἶ καὶ ἀρχιερεὺς καὶ ψυχὰς ἀνθρώπων σὺν τοῖς σώμασι ἐκεῖσε σώζειν, πῶς αὐτὸς ἐμὲ ἐξεφαύλισας; εἰ ἀρχιερεὺς καὶ σοφὸς πέλεις ἔδει σε καὶ τὸν νόμον τηρῆσαι· ἀλλ᾽ αὐτὸς μὲν ἀρχιερεὺς ὢν οὐκ ἐτήρησας, ἐγὼ δὲ ἱερομόναχος, καὶ οὔτε νόμον εἰδὼς οὔτε γράμματα ἐφύλαξα· ὁ γὰρ εἰπὼν «ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς, εἶπε καὶ μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· ἀλλ᾽ αὐτὸς σὺ οὐ μόνον τὸ κυριακὸν ἔνταλμα παρέβης (δηλονότι τὸ μὴ καταφρονῆσαι), ἀλλὰ καὶ λίαν μ᾽ ἐληδόρησας (sic) εἰπών με καὶ παντέρημον καὶ ποῦ ἔχω τὴν καύχησιν, ἐν τοῖς ἀργυρίοις μου ἢ τοῖς φίλοις ἢ τοῖς γράμμασιν, καὶ μὲ ποίους εἰμὶ εἰρηνικός, καίπερ μὲν πᾶσι τούτοις ἀληθείας εἴρηκα.... μετὰ γὰρ τὴν ἐκ τοῦ σεμνείου μου ἐπάνοδον, κατάσκηπτος ἐβάδιζον λοιμώττων (sic) ὡς ἐκεῖνος· ἐκ δὲ τοῦ λοιμοῦ (sic) τηκόμενος λαβὼν ἔκ τινων μικρόν τι ἀργυρίδιον, καὶ ἀγοράσας τὸν ναὸν τοῦ Θεοῦ ἵνα ἐπιτελῶ ἐν αὐτῷ τὰς εὐχὰς καὶ ἠκετηρίας (sic) ὑπὲρ τοῦ λαοῦ πρὸς τὸν Θεόν· μετὰ δὲ τοῦτο βόησον ὡς ἐκεῖνον (sic), ἐκείνας τὰς αἰσχρὰς (sic) καὶ ὑπὲρ τούτου μιαρὰς φωνὰς

τὸ μὴ τὸ προσκυνεῖν ὁ λαὸς τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας καὶ μὴ ταύταις προσφέρειν κηρὸν καὶ ἔλεον (sic) ὡς ἐξ ἐμοῦ ἑκουσίως ὡμολόγηται (τὸ χειρόγραφον ὁμολογήται), καὶ ταῦτα ὁ κοινὸς λαὸς ἔδιδόν μοι τὸ καθημερινὸν ἵνα μὴ λοιμοκτονηθῶ (sic) διὰ τοῦτο δικαίως με οὕτω προσηγόρευσε διὰ τὸ εἶναί με ἐν τοῖς πηλοῖς καὶ βορβόροις ὡς ἐκεῖνον καὶ ἐν τῷ χειμῶνι τῆς πνευματομαχίας .... ἢ παραβλέπεις τὰ σαυτοῦ καὶ τ' ἄλλων καθεζόμενος κρίνεις, δῆλον ὅτι **διηλήζεις** (sic) τὸν κόνωπα (sic) τὴν δὲ κάμηλον καταπίνεις....
διὰ δὲ φίλους, πλείστους (πλείους;) ἔχω ἢ σὲ (sic) καὶ πάντες ὀρθόδοξοι (sic) καὶ ἄνδρες ἀξιολογώτατοι.

B β 3 Ἐπιστολὴ α'.

Τῷ πανιερωτάτῳ Ἡρακλείας τῷ Ἱλαρίωνι Ἀθανάσιος χαίρειν

Κατὰ τὸ εὐαγγελικὸν λόγιον τὸ ζητεῖτε καὶ εὑρήσετε, ἐλογίασα καὶ ἐγὼ νὰ γράψω πρὸς τὴν πανιερότητά σου περὶ ἐκείνου τοῦ ζητήματος ὁποῦ ἔγραψας, πῶς ἡ Θεοτόκος ἐγεννήθη ὑπὸ τὸ προπατορικὸν ἁμάρτημα· διὰ τὸ ὁποῖον παρακαλῶ πολλὰ τὴν λογιότητά σου (λογιώτητα τὸ χειρ.) νὰ μοῦ γράψῃς τὰς αἰτίας (αἴτίας γράφει) ἐξ ὧ δίχνεις (sic)· καὶ πότε εὔγαλεν ὁ Θεὸς τὸ κρῖμα τοῦτο ἀπ' αὐτὴν διὰ νὰ μάθωμεν ἵνα μὴ ἄλλως πιστεύοντες αἱρετικοὶ λογιζώμεθα.

Ἔρρωσο Μαρτίου κη'. αχιδ (Χριστοῦ) ἀπὸ Κωνσταντινουπόλεως· ὁ δοῦλος τῆς πανιερότητός σου ὁ γράψας.

Ἱλαρίωνι κλπ.... Ἐπιστολὴ β'.

Ὅτε μοι ἐγγράφως δέδωκας, πανιερώτατε, τὰ δύο κεφάλαια ἐκεῖνα τὰ ὑπὸ σοῦ φρονούμενα καὶ τῶν λοιπῶν τῆς σῆς μοίρας ὅσοι τοῖς αὐτοῖς ἐντρυφῶσι βιβλίοις, οἷς αὐτὸς ἐντρυφῶν ἐσαεὶ διετέλεσας (ὧν τὸ μὲν περὶ θεολογίας τὸ δὲ περὶ οἰκονομίας) ἐκ προνοίας οὐ διῇρα τὸ στόμα, ἐπεὶ τότε μεταξὺ τῶν λόγων λίαν αὐθαδιαζόμενος καὶ καταχέων ἡμῖν ἀφθόνους ὕβρεις κἂν τῷ τῶν αἱρετικῶν καὶ λατίνων ἐμέ τε καὶ τὸν πατριάρχην σὺν τοῖς αὐτοῦ κληρικοῖς ἀναγράψας χορῷ ἐπορεύθης εἰς τὴν σὴν ἐπαρχίαν· Ἐγὼ δέ σοι ἔπειτα καὶ μικρὸν γράψας εἰ ἡ Παρθένος, ὡς λέγεις, ἐγεννήθη ὑπὸ τὸ προπατορικὸν ἁμάρτημα πότε τουτὶ ὁ Θεὸς ἐξ αὐτῆς ἀφώρισεν (ἀφόρισεν γράφει), οὐκ εἶδον ἀπόκρισιν.... μετὰ τοῦτον μικρὸν ἐνδιατρίψας ἔγω γ' ἐν τῇ Κωνσταντίνου, ἀπεδήμησα σιωπήσαντες ἀμφότεροι (ἀμφώτεροι γρ.) ὡς μὴ ἔχοντες λόγον· μηνὶ Θεοῦ χάριτι κατοικήσαντες ἐν ἑνὶ (ἐνὶ γρ.) τόπῳ ἐβουλήθην λύσαι τὴν σιωπὴν καὶ γράψαι σοι μικρόν, περὶ τοῦ πρώτου κεφαλαίου, οὗ τάδε ἔφης· τὸ πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται, καὶ οἱ ἄλλως λέγοντες αἱρετικοὶ εἰσὶν· οὗ ἡ λέξις ἡ

λέγουσα ἐκ μόνου φανερά ἐστι προσθήκη· καὶ λίαν ἐκπλήττομαι πῶς οὐκ εἴρηκεν (οὐχ εἴρηκεν γράφει) ἀλλ' οὐδ' ἐφαντάσθη· καίτοι οὐδ' αὐτὸς ὁ τῶν θεολόγων καὶ διδασκάλων διδάσκαλός τε καὶ πρῶτος θεολόγος, ὁ ἐν τῷ πατρικῷ κόλπῳ ἀεὶ ὤν, ὁ πάντα τὰ τοῦ πατρὸς ἀκριβῶς εἰδώς, ἡ πηγὴ τῆς θεολογίας τοῦτ' εἶπέ ποτε· ἀλλὰ παρὰ τοῦ πατρὸς εἰπὼν, ἐπήγαγεν, ἐκεῖνος (τουτ' ἔστιν ὁ παράκλητος) μαρτυρήσει περὶ ἐμοῦ· πῶς οὖν σὺ θεολογικώτερος (θεολογικότερος γράφει) τοῦ θεανδρικοῦ λόγου γέγονας, εἰπών, ἐκ μόνου τοῦ πατρός; φεῦ, ἀνάγκη πᾶσα τὴν ἐκκλησίαν ψευδηγορίᾳ ἐνέχεσθαι καὶ τὰς αὐτῆς Γραφὰς ἀπόζειν αἱρέσεως· καὶ εἰ αὐταὶ σὺν αὐτῇ περὶ αὐτοῦ ψεύδονται πῶς σωτηρίαν παρ' αὐτοῦ ἀναμένομεν οἱ πιστεύοντες; ἵλεόν μοι εἴη τὸ πνεῦμα τὸ ἅγιον, παρὰ σοῦ γὰρ ἔχω τὰ τοιαῦτα τολμᾷν· ὁ γὰρ μὴ συγχωρήσας διὰ τὴν συνήθειαν ἐν τοῖς προφήταις λόγου μετάθεσιν, πῶς σοὶ συγχωρήσει, ὁλόκληρον ἐκκλησίαν διαστρέφοντι καὶ τὰς Γραφὰς ταύτης ἀνασπῶντι; ταῦτα μὲν διὰ τὸ παρὸν καὶ τὴν συντομίαν ἐν δὲ τῇ ἑτέρᾳ ἐπισυνάψομεν (ἐπισυνάψωμεν γράφει) τὰ λοιπά· ὀρθοδόξευε· ἀπὸ Νεαπόλεως Αὐγούστου ιη'. αχιδ (Χριστοῦ) ὁ ἐν ἱερομονάχοις Ἀθανάσιος καὶ σὸς δοῦλος.

B β 4 φυλλ. 51

Ἱλαρίωνι τῷ σοφωτάτῳ καὶ πανιερωτάτῳ Ἡρακλείας μητροπολίτῃ καὶ προέδρῳ τῶν ὑπερτίμων ὁ ἐν ἱερομονάχοις Ἀθανάσιος ὀρθῶς φρονεῖν.

Ἐγώ γε μέντοι ὅτε τὰς προτέρας χαράττειν ἠρξάμην ἐπιστολὰς οὐκ οἶδ' ὅπως ὑπὸ τοῦ ἁγίου πνεύματος παρακινηθεὶς τὰ περὶ .... τῆς ἐκπορεύσεως τοῦ ζωαρχικοῦ τε καὶ παντεποπτικοῦ πνεύματος ἀνεζωγράφησα μικρὸν εἰς τὴν ἐκείνου θεορίαν (sic) τὸν λόγον ἐκίνησα πανιερώτατε δέσποτα· νυνὶ δὲ ἐκεῖνα σιωπῇ τιμάσθω ὡς ἀκατάληπτά τε καὶ ἄρρητα κατὰ τοὺς θεολόγους ὄντα ὑπὲρ τὴν ἡμετέραν δύναμιν .... ἐπὶ τὰ προοίμια τοίνυν τῆς ἐνσάρκου καὶ σωτηριώδους οἰκονομίας εἰσέλθωμεν ζητοῦντες τὸ παρὰ τῆς σῆς πανιερότητος β' κεφάλαιον ἐκτεθὲν οὕτως (sic) λέγον: ὁ λέγων τὴν παρθένον Μαρίαν μὴ γεννηθῆναι ὑπὸ τὸ προπατορικὸν ἁμάρτημα, ὡς καὶ οἱ λοιποὶ τῶν προπατόρων, αἱρετικοὶ εἰσὶν (sic) περὶ οὗ ἡμῖν καὶ πολὺς ὁ λόγος. Ἐπειδή περ σοι, τότε μὲν χαριζόμενος ἀνεχώρησα· (ἵνα μὴ διαρραγεὶς ὑπὸ τοῦ θυμοῦ καὶ τῆς πολλῆς διαλέξεως, ὡς μὴ δυνάμενος ἀντιλέγειν τῇ ἀληθείᾳ, καθώς περ ἦρας καὶ χεῖρα, νομίσας εἶναί σε αὐτὸν βασιλέα, καὶ οὐ δύναταί τις ἀντειπεῖν σοι· συγχωρήσωμεν εἶναί σε καὶ βασιλέα, ἡ ἀληθὴς πίστις οὐχ ὑποφέρει οὔτε φόβους, οὔτε σιωπὴν ἀλλὰ πάντα ἡγεῖται ὡς σκύβαλα καὶ ἐναντίον βασιλέων, κατὰ τὸν Δαβίδ, λαλεῖ καὶ οὐκ αἰσχύνεται) πληρῶσαι δὲ μάλιστα

βουλόμενος τὴν εὐαγγελικὴν φωνὴν τὴν λέγουσαν, δότε τόπον τῇ ὀργῇ καὶ τῆς πύλης ἐξῆλθον, πολλάκις καὶ πολλαχῶς ἐνοχλήσαντί με, προὐκρίναμεν μᾶλλον θεραπεύειν σιωπῶντες ἢ γράφοντες παροτρύνειν· δεῖ γὰρ ἡμᾶς γράφειν μὴ ψεύδει καὶ πνεύματι πλάνης ὅ λατρεύεται παρὰ σοὶ, ἀλλ' ἀληθῆ λέγοντας ὡς προσήκει ἀνδράσι θεοσεβέσι .... ἐπεὶ εἴρηκας περὶ τῆς παναγίας ἐκπορεύσεως τοῦ παναγίου πνεύματος, ὅτι ὁ ἄλλως φρονῶν ἢ σὺ αἱρετικὸς ἔστι καὶ διὰ ταύτης τῆς ἀποφάνσεως ἐβουλήθης μὲ αἱρετικὸν κηρύξαι καὶ οὐκ ἐπτοήθης τοσούτων πατέρων φωνὰς καὶ τοσαύτας ἐκκλησίας .... εἰ ἐγὼ αἱρετικὸς διὰ τοῦτο, ἔστω καὶ ὁ τῆς Ἀλεξανδρείας, εἰ ἐγὼ αἱρετικός, ἔστω καὶ πᾶσα ἡ ἐκκλησία μετ' ἐμοῦ, ἡ τἀναντία σοῦ φρονοῦσα. Ἀπροκρίθητί μου τοίνυν, τὶ οὖν βούλεται ἡ ἀποστολικὴ φωνὴ ἡ λέγουσα, τὸ πνεῦμα τοῦ υἱοῦ, καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ ἔστι· καὶ ὁ Χριστὸς περὶ μὲν ἑαυτοῦ φησί, ἐγὼ εἰμὶ ἡ ἀλήθεια· περὶ δὲ πνεύματος, τὸ πνεῦμα ἔφη τῆς ἀληθείας ἀλλ' ὁμοουσιότητα ἔφης σημαίνειν ταῦτα διὰ τὸ συγγενὲς τῆς οὐσίας· καὶ εἰ οὕτως ἔχει κατὰ σὲ εὑρίσωμεν (sic) ἐξ ἀνάγκης καὶ πιστεύσωμεν (κατὰ τοὺς θεολόγους καὶ μάλιστα κατὰ τὸν ἐκ Δαμασκοῦ Ἰωάννην) τὸν υἱὸν ἑτεροούσιον καὶ ἀσυγγενῆ τοῦ πνεύματος· λέγοντος οὕτως· τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα υἱοῦ ὀνομάζομεν κατὰ τὸν ἀπόστολον, καὶ δι' αὐτοῦ ἐκπορεύεσθαι ὁμολογοῦμεν· τὸν δὲ υἱὸν οὔτε τοῦ πνεύματος λέγομεν οὔτε μὴν ἐκ τοῦ πνεύματος· εἰ, ὅταν λέγει τὸ πνεῦμα τοῦ υἱοῦ, σημαίνει τὴν ὁμοουσιότητα, κατὰ σὲ, τοῦ πνεύματος πρὸς τὸν υἱόν. Ἐνταῦθα κατὰ τὸν θεολόγον πάλιν, σημαίνει τὴν ἑτεροουσιότητα (ἑτεροουσιώτητα καὶ ὁμοουσιώτητα ἔχει τὸ αὐτόγραφον τοῦ Ἀθανασίου) τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα τὸ ἅγιον· εὑρέ (sic) οὖν τὸ συμπέρασμα δέσποτα καὶ ἀποκρίθητι· εἰ οὕτως ἔστι, πάντως ἀρειανίζομεν, καὶ οὐ δύνασαι τοῦτ' ἀρνηθῆναι: ταῦτα μὲν ἐγράψαμεν, πανιερώτατε, ἵνα μή σοι δόξωμεν ὡς περὶ τούτων ἀγνοοῦντές σοι τί ἀποκριθῆναι, καίπερ ἀκαίρως καὶ ἀναρμόστως τουτὶ γέγραφα. Ἡμῖν δὲ ἀμφοτέρων (ἀμφωτέρων ἔχει τὸ χειρόγραφον) ὁ λόγος, περὶ τῆς τῆς Θεοτόκου συλλήψεως, περὶ ἧς καὶ β' κεφάλαιον ξυνέγραψας, αἱρετικὸν μ' αἰνιττόμενος, διὸ καὶ φανερώσωμεν αὐτὸ ἐν τῇ τρίτῃ ἐπιστολῇ, Θεοῦ συνεργοῦντος, τὸ πᾶν τοῦ σοῦ κεφαλαίου.

Εὖ φρόνει αχιδ (Χριστοῦ) Αὐγούστου κ'. ἀπὸ Νεαπόλεως ὁ ἐλάχιστος ἐν ἱερομονάχοις Ἀθανάσιος καὶ σὸς κατὰ πνεῦμα.

B β 5 Suppl. grec 1026 φυλλ. 17 α

Μάξιμος Ἀββακοὺμ

Οὐ τοιοῦτον οἶμαι τὰ γράμματα καρτερεῖ τὸν πόθον οἷον καὶ ἡ καρδία τρέφουσα διατελεῖ· τῷ τοι οὐ διὰ γραμμάτων ἔδει ἡμᾶς τὸν ἐνδομυχοῦντα πόθον ἐκφαίνειν ἀλλήλοις, ἀλλὰ καὶ αὐτῆς συνιέναι τῆς φίλης φωνῆς· Ἀλλ' ἐπεὶ (οὐκ οἶδ' ἀνθ' ὅτου, τοῦ μὲν εὐμοιροῦμεν, θατέρου δ' ἐπιτυ-

χεῖν οὐ ῥάδιον, χρώμεθα τῷ ἑνί), ἕς τ' ἂν καὶ τοῦ ἑτέρου τύχοιμεν πάρεργον ἂν εἴη τὰς κατὰ 'Αλεξάνδρειαν μοι ὅσαι ἡμέραι ἀσθενείας, πολλάκις αὐτὸς ὢν κατατραγῳδήσεως γράφειν τό γε νῦν εἶναι. 'Εκεῖνο μόνον λεκτέον, ὅτι τὸ νῦν ἔχον, ὑγιαίνεις εἰς μὲν τὸ σῶμα· τὴν δὲ ψυχὴν οἶδεν ὁ καρδιογνώστης· ἀπέπλει Κύριλλος εἰς Κρήτην πρὸ τοῦ ἐλθεῖν με εἰς 'Αλεξάνδρου, εἴκοσι μόνον τῷ δεσπότῃ παραμενεῖ ἡμέρας· οἶμαι δὲ δὲ καὶ εὐθὺ κωνσταντινουπόλεως αὖθις ὅτι τάχιστον πορείαν σταλῆναι ἡμᾶς Γράψον μοι εἰ μενεῖς αὐτὸς εἴ του δέῃ αἰθιοπικοῦ, θαρρῶν μήνυσον· τὸν πανιερώτατον καὶ σοφώτατον κὺρ Διονύσιον 'Ηρακλείας τὸν ἐμὸν ἐν Χριστῷ περιπόθητον πατέρα πρόσειπε ἰδών. Ἕξεις καὶ μὲ ταχέως ἐὰν ὁ Κύριος δῷ.

B β 6

Μάξιμος 'Αββακοὺμ

Οὐ μικράν τινα φῄς παρεσχηκέναι ὑμῖν ἡδονὴν τ' ἀμὰ γράμματα τοῖς ἐν Κων/πόλει τυγχάνουσιν. 'Ημῖν δὲ τὰ ὑμέτερα, τοῖς κατ' Αἴγυπτον τὴν διατριβὴν ποιουμένοις, ἣν καὶ αὐτόν σε, νομίζω ἑωρακέναι, ἡνίκα τὴν εὐθὺ 'Ιεροσολύμων ἐποίου πορείαν, οὐδὲν ἄλλο ἢ αὐτόχρημα Αἴγυπτον οὖσαν, πόσην οἴει παρέσχεν ἡδονήν; ἆρ' ἔνι εἰπεῖν; οὐ μὲν οὖν, οὐκ οἶμαι δῆλον δ' ἐκεῖθεν. 'Ησθένουν ἀδελφῶν μοι τῷ ὄντι προσφιλέστατε, ὅτε τοῖς σοῖς ἐπέτυχον γράμμασι, διελθὼν δ' αὐτά, ἀνέρρωσά τε τὸ ἀπὸ τοῦδε, καὶ νῦν διὰ σῶν ἁγίων εὐχῶν ὑγιαίνων εἰμὶ τοῦ σώματος, οἶδας γὰρ οἶδας ὡς οὐδενὶ τῷ ἑτέρῳ εὐδοκεῖ μου ἡ ψυχὴ ὡς ἐν σοί· καὶ ηὐχόμην ἂν ἀεὶ συνεῖναί σοι μᾶλλον ἢ τὸν ἥλιον (πέπεισο) καθορᾶν. Πλὴν ἀλλὰ τί ἂν πάθοιμι τούτου ἀμοιροῦντα; οὐχ ὑπομονητέον ἔτι ὅσον, ἕως ἄν, ἐξυπνήσοι τὸ θεῖον ἐκ τῆς πολλῆς ἄγαν μακροθυμίας (ὑπνοῦν γὰρ λέγεται μακροθυμοῦν) καὶ ἐκποδὼν ποιήσοι τοὺς τὴν ἐκκλησίαν αὐτοῦ ἐπηρεάζοντας καὶ ἐπηρεαστάς; ναὶ δὴ τοῦτο (17 β) ποιήσωμεν· περὶ τῶν λοιπῶν τί δεῖ με γράφοντα διατρίβειν; αὐτόσε ἔρχεται ὁ σοφώτατος καὶ λογιώτατος παπᾶ κὺρ Κύριλλος ὁ μέγας πρωτοσύγκελλος καὶ ἀρχιμανδρίτης τῆς 'Αλεξανδρείας ὁ καὶ ἡμῖν περιπόθητος καὶ ἀναγγελεῖ σοι τὸ πᾶν· σὺ εἴ του δέῃ τῶν αἰγυπτιακῶν ἀνυποστόλως μοι γράφε εἴ με φιλεῖς· τὴν βίβλον εἰ τετέλεκας σύγκρουσον εἰ σοι δύναται, εἰ δ' οὖν ἀπόστειλον μετὰ πιστοῦ τινος περὶ ἧς τὰ εἰκότα μὲν εὐχαριστεῖν οὐκ ἔνι, τὰ δυνατὰ δέ, ἕξεις δὲ τὸ μνημόσυνον αἰώνιον· ᾧ μοι ἔγραφες μετάνοιαν ποιῆσαι πεποίηκα· ἄλλο δέ τι οὐκ εἴρηκα, 'Αργαλέος (ὁμηρικῶς φάναι) γάρ ἐστι ἀντιφέρεσθαι· ἔρρωσο μοι φίλτατ' ἑταῖρε. *)

---

*) Εἰς τὸ χειρόγραφον 1026 μετὰ τὴν ἐπιστολὴν τοῦ Μαξίμου τοῦ Πελοποννησίου πρὸς τὸν 'Αββακοὺμ ὑπάρχει, ὡς ἀνέφερα καὶ εἰς σελίδα 77, καὶ ἐπιστολὴ τοῦ ἑτέρου Μαξίμου τοῦ Κυθήρων ἐπισκόπου, Μαργουνίου ἐπονομαζομένου, πρὸς τὸν Μ/την 'Ηρα-

Β γ 1 Suppl. grec 1030 φυλλ. 85^{α} 85^{β}

25 Δεκεμβρίου 1650

Ἐλλογιμώτατε καὶ αἰδεσιμώτατε ἀφέντα καὶ ἀδελφὲ περιπόθητε

Ἔλαβα τρεῖς γραφὰς τῆς αἰδεσιμότητός σου, εἰς ἕνα ἴδιον καιρόν. Εἶναι τώρα μῆνες ἑπτά καὶ ἔδωκά της ἀπόκρισις μὲ κάποιον τοῦρκον ἄνθρωπον τοῦ κονσούλου τῶν βενετίκων, ὁ ὁποῖος, ὡς ἐμάθαμεν, ἀπόθανεν ἐκεῖ, ἀπὸ τὴν ὁποίαν μου γραφὴν ἤθελες μάθη ταῖς ζάλαις καὶ συμφοραῖς καὶ ζημίες ὁποῦ μοῦ ἐσυνέβησαν, εἰς τὸν καιρὸν ὁποῦ ἡ αἰδεσιμότης σου ἐμήσευψεν ἀπ᾽ ὧδε ἕως τὴν σήμερον. Ἀλλ᾽ ἐπειδὴ νὰ ἀμφιβάλλω διὰ τὴν γραφὴν ἐκείνην, ἔρχομαι πάλιν μὲ εἶδος τραγῳδίας, νὰ τῆς διηγηθῶ τὰ πάθη μου, καὶ λέγω της, ὡς καθὼς ἐμήσευψεν ἀπ᾽ ὧδε ἡ αἰδεσιμότης σου ὅλοι οἱ ἄρχοντες τοῦ τόπου ἐκακολόγησαν τόσον τὸν μακαρίτην Παῦλον Κορίμην τὸν δραγομάνον, ὁποῦ ὁ ἡγεμὼν τὸν ἔβαλεν σιδηροδέσμιον εἰς φυλακήν, μὲ ἀπόφασιν .... εἰς τὸ χέριν του νὰ τὸν κρεμάσῃ, ἀλλ᾽ ὁ ῥηθεὶς κατάδικος μὲ τὸ νὰ φθείρῃ τὶς φυλάττοντάς

κλείας Διονύσιον. Τὸν ἱεράρχην αὐτὸν ἀνέφερα εἰς τὴν σελ. 77 (καὶ αὐτ. σημ. 11). Ὁ Φραγκῖσκος Κόκκος γράφων πρὸς τὸν Διονύσιον μεταξὺ ἄλλων καταχωρεῖ καὶ τὰ ἀκόλουθα· «τὰ δὲ σὰ καὶ μάλα (καλοῦ) οἶμαι καὶ οἵου προσήκει τοῖς κατὰ Θεὸν πολιτευομένοις». Ὁ Σοφοκλῆς ὁ ἐξ οἰκονόμων ὁ δημοσιεύων τὴν ἐπιστολὴν τοῦ Κόκκου («Ἀθήνησι» 1863) σημειώνει διὰ τὸν Διονύσιον ἐγκωμιαστικὰ λόγια· «οὗ (τοῦ Διονυσίου) ἥ τε ἄλλη σοφίακαὶ ἀρετὴ καὶ ἡ περὶ τὰ θεῖα στερρότης καὶ τὸ τοῦ ζήλου διάπυρον οὐ τοὺς τυχόντας ἔσχεν ἐγκωμιαστάς, ἀλλὰ Μελέτιον τὸν Πηγᾶν καὶ Μάξιμον τὸν Μαργούνιον τὰ τῆς Ἐκκλησίας καὶ τῆς πατρίδος ἡμῶν ἀγλαὰ ἐγκαλλωπίσματα»· (σ. 25 μνημονευθέντοςἔργου τοῦ Σοφοκλέους). Εἰς τὴν 6 ὑποσημείωσιν τῆς ἰδίας σελίδος ἀναφέρων περὶ ἐπιστολῆς Διονυσίου ἱερομονάχου πρὸς τὸν Μαργούνιον γραφείσης κατ᾽ Αὔγ. τοῦ 1591, ἰσχυρίζεται ὅτι ὁ ἱερομόναχος Διονύσιος εἶναι ὁ αὐτὸς πρὸς τὸν Μ/την Ἡρακλείας Διονύσιον «πρὸς ὃν φέρονται—ἐν τῷ ἰδίῳ χειρογράφῳ τοῦ Σοφοκλέους τοῦ ὁποίου ἀντίγραφον σώζεται ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Χάλκῃ μονῆς τῆς Ἁγ. Τριάδος ὑπ᾽ ἀρ. 120—ιδ᾽ τοῦ Μαργουνίου ἐπιστολαί. Πάντως θὰ ἦναι ὁ ἴδιος Διονύσιος, καθὼς καὶ Ἱλαρίων ὁ αὐτὸς εἶναι καὶ ὡς ἱερομόναχος καὶ ὡς μητροπολίτης Ἡρακλείας. (Βλέπε σελ. 73 τοῦ παρόντος συγγράμματος). Ὁ Σοφοκλῆς κάμνει λόγον καὶ περὶ ἐξ ἐπιστολῶν τοῦ Μελετίου Πηγᾶ— ὁ ὁποῖος γράφει πρὸς τὸν Διονύσιον τὸν Ἡρακλείας «παρηκολούθηκάς μοι τῷ κηρύγματι, κεκοινώνηκας τῶν φροντίδων, συμμετέσχες τῶν πόνων ἐκείνων τῶν ὑπερφυῶν» κλπ.—καὶ ἰδιαιτέρως περὶ τῆς 51ης ἐπιστολῆς τοῦ Μαργουνίου πρὸς τὸν Διονύσιον ἐν τῇ ὁποίᾳ ἀποκαλεῖ αὐτὸν σάλπιγγα διαπρύσιον καὶ ἡδὺ διὰ πάντων εὐηχοῦσαν, δοχεῖον θείων ἐμπνεύσεων, ἐναρμόνιον κιθάραν τῶν κρουσμάτων τοῦ πνεύματος καὶ ἄλλα. Ὅλα αὐτὰ εἶναι μία ἀκόμη μαρτυρία ὅτι ἡ σχολὴ τοῦ Μελετίου τοῦ Πηγᾶ, ἡ ὁποία δύναται νὰ ὀνομασθῇ καὶ σχολή, ὡς εἰς τὸ τρίτον κεφάλαιον πλειότερον θὰ ἀναπτύξω, τῆς Μονῆς Ἀγκαράθου, σχολὴ εἰς τὴν ὁποίαν ἀνῆκον ὁ Ἱλαρίων καὶ ὁ Λούκαρις, διέπρεπεν ὄχι μόνον ἐπὶ σοφίᾳ, ἀλλὰ καὶ ἐπὶ ἀρετῇ. Στηριζόμενος ὁ Σοφοκλῆς ἐπὶ μιᾶς ἐπιστολῆς τοῦ Μελετίου πρὸς τὸν Διονύσιον ὁρίζει τὸ 1591 ὡς ἔτος τῆς εἰς τὴν μητρόπολιν Ἡρακλείας προαγωγῆς τοῦ Διονυσίου.

του μὲ πολλὰ δῶρα ἔφυγε καὶ μετ' ὀλίγον πῆγεν στὴν πόλιν, καὶ οὕτω γνώμῃ κοινῇ μικρῶν τε καὶ μεγάλων, τούρκων καὶ χριστιανῶν, θέλοντά μου καὶ μή, ἐβαλάν με δραγομάνον καὶ ἐπήρασί μου ὡς τρεῖς χιλιάδας ρεάλια, ἦν δὲ τότε ἡγεμὼν ἐκεῖνος ὁ περίφημος Φασλὴ Παχσάς, μετὰ μῆνας ὀκτὼ ἐγένετο κάποια ἐπανάστασις ἐναντίον τοῦ μολλὰ τῆς χώρας ὀνομαζομένου Χασὰν ἐφέντη (ὃς καὶ ἀπεκτάνθη ἐν τῇ λεωφόρῳ) φίλου μας ἄκρου καὶ ἔκτοτε ἄρχισαν αἱ ὀδύναι. Μετ' ὀλίγον ἔφθασε καὶ ὁ κορόμιλος ἀπὸ τὴν πόλιν, μὲ προστάγματα βασιλικά, διὰ πολλαῖς ὑποθέσεις, ὁ ὁποῖος διὰ νὰ εἶναι μισισμὸς ἀπὸ τὸν κόσμον ἀπεκτάνθη καὶ ἐκεῖνος ἐν τῇ λεωφόρῳ, καὶ πάλιν διὰ νὰ ἐλευθερωθῇ ὁ ἄθλιος ὁ Νοταρᾶς ἀπὸ ταῖς γλώσσαις τῶν κακῶν ἀνθρώπων ἐξόδιασε ἄλλα ρεάλια 1000 καὶ δεύτερον μ' ἔβαλαν δραγομάνον, καὶ ἐπήρασί μου ἄλλα χίλια ρεάλια εἰς τρόπον ὥστε διὰ νὰ γλυτώσω τὴν ζωήν μου ἐξόδιασα ἐκεῖνο ὁποῦ δὲν εἶχα, καὶ εὑρίσκομαι κατάχρεως, μέρος ἀπὸ ταῖς ζημίαις ὁποῦ ἤ καὶ μέρος ἀπὸ ταῖς ἀνυδρίαις καὶ ἀκρίδες τέσσαρες χρόνοι τώρα ὁποῦ γίνεται ἀστοχία ἐν ταῖς ρένδιτες τοῦ τόπου καὶ μέρος τοὺς καθημερινοὺς μεγάλους ἐξόδους, καὶ ἀπάνω εἰς ὅλα τοῦτα, ἐσκανδαλίστηκεν κάποιος τοῦ τόπου μετά μου, καὶ διὰ νὰ μὴν δύνεται νὰ μοῦ κάμῃ τίποτε μὲ τὴν κρίσιν, ἀλλ' οὐδὲ μὲ τὸν Παχσὰν (ὅτε ποτὲ μὲ ἠγάπα) συνεβάλλει με μὲ τὸν ἀφέντην τὸν Μουφτῆν τοῦ τόπου καὶ εἰς ἄλλους, ὅτι τοὺς ὕβρισα, καὶ εὐθὺς ἐπανεστάτησαν κατ' ἐπάνω μου, ὅλον τὸ τάγμα τῶν στρατιωτῶν διὰ νὰ μὲ ἀποκτείνουσι καὶ οὕτω κρύβοντός μου νὰ φύγω τὸν θάνατον, εὐθὺς τῆς ὥρας ἔγινεν δραγομάνος ὁ μισὲρ Τζὼν Ἀντώνιος ὁ σαράφης, ὁ ὁποῖος ἐδίψα πρὸ πολλοῦ τὸ αὐτὸ ὀφφίκιον (καθὼς οἶδεν ἡ αἰδεσιμότης σου ὅτι εἶναι φθονερὸς) καὶ πάλιν ὁ τάλας ἐγὼ κρυφῶς καὶ φανερῶς, διὰ νὰ φύγω τὸν θάνατον καὶ νὰ φιλιωθῶ μὲ τοὺς ἐχθροὺς ἐξόδιασα σχεδὸν ὡς δύο χιλιάδας ρεάλια καὶ ἐρήμωσα καὶ τὸ σπίτιν μου καὶ τοὺς φίλους μου. Essendo auttore il sudette tragomano havendo passione. (Ἐγένετο δημιουργὸς τῆς ἐρημώσεώς μου ὁ εἰρημένος δραγουμάνος ἀπὸ πάθος).

Τελειώνω μὲ τὸ αὐτὸ παρακαλόντας την νά μου κάμῃ τὴν χάριν νὰ μοῦ στείλῃ ἕνα τίμιον γράμμα πατριαρχικὸν νὰ τὸν ἀφορίζῃ συνοδικῶς ὡς ὑπηρέτην τοῦ χαλασμοῦ μου, ὅτι διὰ φθόνον et irgonditia (ὀργὴ) ha tronato questa

La mia pouera casa

καὶ νὰ ἦναι τὸ γράμμα συνοδικὸν μὲ πολλοὺς ἀρχιερεῖς ὑπογεγραμμένον, ἀφορίζοντάς τον πανοικεί, ἴσως ὁ ἀσυνείδητος καὶ ἔλθῃ εἰς αἴσθησιν ἀνθρωπότητος ἢ ὁ Θεὸς ὁ ὁποῖος γινώσκει τὰ κρυφὰ καὶ τὰ φανερὰ θέλει τὸν κρίνει.

Ἂν εἶναι βολετὸν νὰ μοῦ στείλῃ καὶ καμμίαν ρακομανδασζιόνε ἀπὸ τὸν πρέσβυν τῆς Βρετανίας πρὸς τὸν ἐνταῦθα κόνσολον θέλει μου κάμει

μεγάλην χάριν, ὁμοίως καὶ ἀπὸ τὸν ἄλλον τῆς Φραγγίας εἰς τὸν κόνσολον διότι αὐτοὶ μικρὴν ἀφορμὴν θέλουσι νὰ γυρίσουσιν, ἐπειδὴ καὶ διὰ νὰ μὴ ἠξεύρῃ ὁ ρηθεὶς τύραννος Φράγκικα εἶναι ὅλοι κακοδουλεμένοι τέλος ὅτι ἔπνιξαν μὲ δάκρυα καὶ ἡ λύπη μὲ ἐσκότασε καὶ φιλῶ της χεῖρας εὐλαβῶς. 25 Ὀκτωβρίου 1650

τῆς σῆς Λογιότητος δοῦλος καὶ ἀδελφὸς Φραγκῖσκος ὁ Νοταρᾶς. *)

(εἰς τὸ περιθώριον) Τὰ Γράμματα ὁποῦ τῆς γράφω ἄς ἐνθυμᾶται νὰ τὰ στείλῃ μὲ πολλὰ σιγοῦρον ἄνθρωπον. Itimo ancova esser coste il R[mo] Padre Guardiano di Gerusalem, quale é mio amico, consequale potete sevinere e mandarme ogni cosa, esta nel conciento di St. matia in Galata.

B γ 2 ***Ἐπιτίμιον ὑπὲρ τοῦ Φραγκίσκου Νοταρᾶ ἐκδοθὲν ὑπὸ τοῦ Π/χου Παρθενίου Β'***

Παρισ. Κώδιξ suplément grec ἀριθ. 1030 φύλλον 90α.

Ἀνηνέχθη ὅτι γιὰν Ἀντώνιος ὁ ποτὲ σαράφης διὰ φθόνον καὶ ἀπληστίαν ἐζημίωσε πολλοὺς χριστιανοὺς διαφόροις κακονίας τρόπους, ὧν εἷς ἦν καὶ ὁ εὐγενέστατος Φραγκῖσκος Νοταρᾶς, ὃν ὑπὲρ ἐκ περισσοῦ ζημιώσας καὶ θλίψας καὶ πολλῶν πάνυ χρημάτων στερήσας ποικίλαις μεθοδείαις, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσιν οἷον κολοφῶνα τῶν αὐτοῦ κακίστων μηχανημάτων καὶ ραδιουργιῶν καὶ ἀφείλετο αὐτοῦ τὰ εἰσοδήματα οἷς πανοικὶ διῆγε τὸν βίον, ἀπαγορεύσας τὴν εἰς τὸ σεράγιον εἴσοδον· ὡς μὴ δύνασθαι τὸν ρηθέντα εὐγενῆ ἄνδρα Νοταρᾶν εἰσιέναι ποινῆς ἄνευ κεφαλικῆς. Διὸ γράφομεν, ὡς ἐζητήθη, εἰ μὲν παύσηται ὁ ρηθεὶς γιὰν Ἀντώνιος ὁ ποτὲ σαράφης τῶν τοιούτων πονηριῶν, τοῦ ζημιοῦν τὸν ρηθέντα Φραγκῖσκον Νοταρᾶν, καὶ ἀποτίσῃ αὐτῷ ἅπερ ἐζημίωσε, καλὸν εἴη· εἰ δὲ ἐπιμείνῃ τῇ τοιαύτῃ μηχανουργίᾳ καὶ πονηρίᾳ, ἀφωρισμένος ἔστω σὺν πᾶσι τοῖς αὐτῷ προσήκουσι...... καὶ μηδεὶς ἐκκλησιαζέτω ἢ μετ' αὐτοῦ συνεσθιέτω ἢ συλλαλείτω, εἰ δέ τις τοῦτον παραβείη ἀφωρισμένος κἀκεῖνος ἔστω καὶ ὅστις κρυφῶς ὑπουργήσει τῇ κακονοίᾳ τοῦ ρηθέντος γιὰν Ἀντωνίου καὶ πονηρίᾳ ἐπὶ τὸ ζημιοῦν ὃν ἔφημεν Νοταρᾶν, ἀφωρισμένος κἀκεῖνος.

---

*) Ἔχω σημειώσῃ (σ. 77) περὶ τοῦ Φραγκ. Νοταρᾶ ὅτι διερμηνεὺς ἦτο εἰς τὸ Χαλέπιον κατὰ πᾶσαν πιθανότητα χωρὶς νὰ ἀποκλείω ἀπολύτως καὶ τὴν Δαμασκὸν εἰς τὴν ὁποίαν (οὖσαν πασαλίκι=ἀνωτέραν διοίκησιν) ὑπήγετο ἡ Ἱερουσαλὴμ ὡς ὑποδιοίκησις. Τὰ ἰταλικὰ καταχωρῶ ὡς ἔχουσιν ἐν τῷ χειρογράφῳ.

B δ

Supplément grec 1030 φυλλ. 61 Ἐθν. Βιβλιοθήκη Παρισίων

Παναγιώτατέ μου δέσποτα,

Λυποῦμαι ὅτι ἡ παναγιότης σου κάμνει νὰ χαίρουνται τοὺς ἐχθρούς της, κάμνοντας τοὺς φίλους της ἐχθρούς· διότι τὸ σπουδαζόμενον τῶν ἐχθρῶν σου τοῦτο εἶναι μάλιστα, καὶ μάλιστα διὰ νὰ μεσολαβήσῃ μεταξύ της καὶ τοῦ ἀφεντὸς ἀφιλία, καὶ διὰ ὑποθέσεις τόσον μικράς, καὶ ἀντιπάλους ἔχοντας τοσούτους ὧν ἕνας εἰς τὰς 16 Νοεμβρίου εἶχε νὰ φιλήσῃ χέρι καθὼς εἰδήμονες λέγουσι, καὶ νὰ εἰσέβῃ εἰς τὸ πατριαρχεῖον, ἄν δὲν ἤθελε συμβῇ μικρὸν ἐμπόδιον τοῦ ἐπιτρόπου· καὶ πάλιν τὰ πράγματα ἔχουσί πως, οἷον οὐκ ἄν ποτε ηὐξάμην, φιλῶ σε γὰρ κἂν μὴ θέλῃς· καὶ ἤλπιζα τὸν ἀφέντην νὰ τὸν ἀποκτήσῃς ὑπερασπιστὴν κοντὰ εἰς τὸν ἐπίτροπον καὶ ἄλλους, ἀλλ᾽ ἡ παναγιότης σου δὲν ἐξεύρω πῶς διὰ ποταπὸν πρᾶγμα σχεδὸν παρῃτήθη, διὰ νὰ κάμῃς τὸ ἐπιθυμούμενον ὑπὸ τῶν ἀντιπάλων· διότι τόση πικρία τοῦ Σμύρνης *) καὶ τοῦ ἐξάρχου δὲν ἔπρεπε νὰ σβύσῃ τὴν ἀνδρείαν τῆς καλωσύνης τῆς παναγιότητός σου, καὶ τοῦ ἀφεντὸς τὴν φιλίαν καὶ μεσιτείαν, καὶ δὲν λέγω καὶ τοὺς ἐδικούς μου ἐπαίνους τῆς σῆς ἀγαθῆς διαθέσεως· καὶ ἤξευρε δέσποτά μου, πῶς οἱ τραγῳδοὶ παρεισάγουσι δυνάστας ἀποθνήσκοντας καὶ βοῶντας, οἴμοι τάλας, ἔρημος, οὐ χρυσοῦ, ἀλλὰ φίλων ἀποθνήσκω· καὶ ὁ Τίτος ἐπεφθέγγετο τῇ νυκτί, οἴμοι ἀπώλεσα τὴν ἡμέραν, μηδενὶ εὐεργετηκὼς τῶν φίλων· καὶ Ἀλέξανδρος θησαυρόν, καὶ ὅπλα καὶ στρατιώτας βασιλικὴν δύναμιν, τοὺς φίλους ἐδείκνυε. Ἀλλ᾽ ἴσως ταῦτα καὶ τὰ παραπλήσια τὸν ἀριθμὸν ἄμετρα καὶ ὅτι ὁ κόσμος φιλίᾳ συνηρμόσθη καὶ κατέστη παρὰ τοῖς ἀπείροις τῶν ἱστορικῶν ὕποπτα, ὡς ἀρχαῖα ἀφίημι· οὐδὲ τὸν Παρθένιον λέγω καὶ τὸν μετ᾽ αὐτόν, ἐξωσθέντας διὰ τὸ δυσπειθές, ὅ φασι κοινῶς πεῖσμα, καὶ τὴν ἀποπομπὴν τῶν φίλων· ἀλλ᾽ ὃ μέλλω ἐρεῖν αὐτός μοι μαρτυρήσεις, αὐτὸς καθ᾽ αὐτὸν εἰδήμων γεγο-

*) Εἰς τὴν σελίδα 78 παρέλειψα νὰ γράψω περὶ τοῦ ἀναφερομένου μητροπολίτου Σμύρνης. Ὁ Ἐφέσου περὶ τοῦ ὁποίου γράφω εἰς τὴν εἰρημένην σελίδα εἶναι, ὡς νομίζω, ὁ μνημονευόμενος ἔξαρχος. Εἰς πολλὰ ἔγγραφα τοῦ κώδικος Α′ τοῦ Οἰκουμενικοῦ Π/χείου ἀπαντᾷ ὁ μητροπολίτης τῆς Α ἢ Β ἐπαρχίας καὶ Ἔξαρχος Οὕτως ἀπαντῶμεν π.δ.χ. τὸν Ἀγχιάλου Παρθένιον τὸν μετέπειτα Οἰκ. Π/χην, τὸν Π. Πατρῶν Θεοφάνην (1624) ὑπογραφόμενον εἰς σιγίλλιον ὡς ἐπίτροπον πατριαρχικὸν καὶ ἔξαρχον τῆς συνόδου, τὸν Ναυπάκτου Γαβριὴλ ὑπογραφόμενον εἰς τὸ ἴδιον σιγίλλιον ἔξαρχον πατριαρχικὸν καὶ πάσης τῆς συνόδου. («Ἐκκλ. Ἀλήθεια» ἔτος ΙΒ′ σελ. 130 Πατριαρχ. κώδιξ Α′ σελ. 160). Ὁ ἐν τῇ ἐπιστολῇ τοῦ Ῥήτορος μνημονευόμενος μητροπολίτης Σμύρνης κατὰ πᾶσαν πιθανότητα εἶναι ὁ Μακάριος, ὑπογράφων σιγίλλιον—τὸ πρωτότυπον ἀπόκειται εἰς τὸ γραμματοφυλάκιον τοῦ μοναστηρίου Ταξιάρχου τῆς νήσου Σερίφου—ἐκδοθὲν ὑπὸ τοῦ Π/χου Ἰωαννικίου Β′ τῷ 1653. (Π. Ζερλέντου, Ἱστορικαὶ ἔρευναι περὶ τὰς ἐκκλησίας τῶν Νήσων σελ. 76—78. Βλέπε και σελ. 22 παρ. ἔργου).

νώς. Ὁ γὰρ ὑπὸ Θεοῦ ἀπὸ τοῦ πολυκυμάντου τούτου κόσμου λυτρωθεὶς τῆς παναγιότητός σου ἀδελφὸς, τῶν ἀρχιερέων τοῦ καιροῦ μας πολιτικώτατος καὶ φρονήσει καὶ πράξει γεγονὼς, τοῦτο ἐπιμελῶς εἶχε διὰ παντός, οὐ μόνον ἐχθροὺς μὴ ποιεῖν, ἀλλὰ καὶ τοὺς καθ᾽ οἱονδήποτε ἀνθρώπινον δυσχεραίνοντας αὐτῷ, δυνάμει πάσῃ οἰκειώσασθαι ἐφρόντιξε· καὶ γὰρ καὶ τῆς ἀρετῆς φησί τις ῥήτωρ δεῖ γίγνεσθαι κληρονόμος ὥσπερ καὶ τῆς οὐσίας καὶ τοῦτον ἐπ᾽ ἀληθείᾳ πρέπει καὶ ἡ παναγιότης σου νὰ μιμῆται καὶ κατὰ μίμησιν ἐκείνου, ὅσον εἰς τοῦτο, νὰ πολιτεύεται ὅτι οἱ φίλοι μέγιστον ὀχύ-, ρωμα τῶν ἐχόντων· ταῦτα μὲν ἐγὼ γέγραφα φιλίᾳ φερόμενος ὑπερβαλλούσῃ, καὶ ἐλπίζω ἐπ᾽ ἀγαθῷ ληφθῆναι. Ἡ δὲ σὴ παναγιότης ὡς δεσπότης, ὅ δόξει ποιήσει.

Ἔρρωσο 24 Νοεμβρίου 1650.

Ἐλάχιστος θεράπων ὁ ἐν ἱερεῦσι καὶ κήρυξι τὸν θεῖον λόγον

Ἀθανάσιος Ρήτωρ.

B ε 1 Α′ κῶδιξ σελ. 128

Ὑπόμνημα ἐκλογῆς Παρθενίου τοῦ Α′ ὡς Μ/λίτου Ἀδριανουπόλεως

Τῆς ἁγιωτάτης μητροπόλεως Ἀδριανουπόλεως δίχα γνησίου προστάτου καταλειφθείσης, ἅτε τοῦ ἐκεῖσε ἀρχιερατεύοντος πανιερωτάτου Ἀνθίμου, ψήφῳ κανονικῇ καὶ ἐκλογῇ κοινῇ, εἰς τὸν ὑψηλότατον καὶ πατριαρχικὸν θρόνον Κωνσταντινουπόλεως ἀναχθέντος, καὶ οἰκουμενικοῦ πατριάρχου γεγονότος, ἡμεῖς οἱ ἐπὶ συστάσει τῆς τοῦ Χριστοῦ Μεγ. Ἐκκλησίας συνεληλυθότες ἀρχιερεῖς, ἐπιτάξει τοῦ παναγιωτάτου αὐθέντου καὶ δεσπότου ἡμῶν κυρίου Ἀνθίμου τοῦ οἰκουμενικοῦ πατριάρχου, εἰσήλθομεν ἐν τῷ πανσέπτῳ πατριαρχιακῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος γεωργίου τῷ ἐν τῷ διπλαφοναρίῳ, ποιήσαντες ψήφους κανονικὰς διὰ τὴν μητρόπολιν αὐτὴν Ἀδριανουπόλεως, ἐν αἷς, α′ μὲν ἐθέμεθα τὸν πανιερώτατον μητροπολίτην Ἀγχιάλου κὺρ Παρθένιον τὸν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν, β′ δὲ τὸν ὁσιώτατον πρωτοσύγκελλον Κυζίκου ἱερομόναχον κὺρ Εὐγένιον καὶ γ′ τὸν ὁσιώτατον πρωτοσύγκελλον Μηδείας κὺρ Χριστόφορον. Διὸ καὶ εἰς ἐμφάνειαν κατεγράφη τὰ ὀνόματα αὐτῶν ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας.

Ἐν ἔτει ζρλα′ μηνὶ Ἰουλίῳ ἰνδικτ. στ′.

ὁ Ἡρακλείας	ὁ Κυζίκου	ὁ Νικομηδείας	ὁ Χαλκηδόνος	ὁ Παλ.Πατρῶν
Νεόφυτος	***Παρθένιος***	***Διονύσιος;***	***Ἰωάσαφ***	***Θεοφάνης***

B ε 2 Π/χικὸς κώδιξ Β′ σελ. 65

Ὑπόμνημα ἐκλογῆς τοῦ πατριάρχου Παρθενίου Α′

Τοῦ ἁγιωτάτου καὶ ὑψηλοτάτου καὶ οἰκουμενικοῦ πατριαρχικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως δίχα γνησίου καὶ νομίμου προστάτου καταλειφθέντος, ὡς τοῦ ἐν αὐτῷ παρανόμως καὶ ἐπιβατικῶς κατὰ παραχώρησιν Θεοῦ πατριαρχεύσαντος Κυρίλλου τοῦ ἐκ Βερροίας εὐλόγῳ καὶ νομίμῳ τρόπῳ καθαιρέσει τελείᾳ καθυποβληθέντος, καὶ ἐξωσθέντος τοῦ πατριαρχικοῦ θρόνου, καθὰ ἀντικρὺ φαίνεται τὰ ἐγκλήματα αὐτοῦ ἐν τῇ κανονικῇ συνοδικῇ καθαιρέσει κατ᾿ εἶδος καὶ κεφαλαιωδῶς ἀπὸ τοῦ πρώτου ἕως τοῦ ἐσχάτου, ἡμεῖς οἱ καθευρεθέντες συνελθόντες εἰς ἓν ἐν τῷ πατριαρχικῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου, ἐποιήσαμεν ψήφους κανονικὰς διὰ τὸν πατριαρχικὸν τοῦτον θρόνον Κωνσταντινουπόλεως, ἐν αἷς πρῶτον μὲν ἐθέμεθα τὸν πανιερώτατον μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως Ἀδριανουπόλεως τὸν ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Παρθένιον, ἔπειτα δὲ τὸν πανιερώτατον μητροπολίτην Νικαίας κὺρ Πορφύριον καὶ τρίτον τὸν πανιερώτατον μητροπολίτην Μολδοβλαχίας κὺρ Βαρλαάμ. Ὅθεν εἰς τὴν περὶ τούτου δήλωσιν κατεστρώθη τὰ ὀνόματα αὐτῶν ἐν τῷ παρόντι ἱερῷ κώδικι τῆς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

Ἐν ἔτει ‚αχλθ′ μηνὶ Ἰουλίῳ ζ′ ἰνδ. ζ′.

ὁ Ἐφέσου	***Μελέτιος***	ὁ Π. Πατρῶν	***Παρθένιος***
ὁ Τορνόβου	***Μακάριος***	ὁ Βερροίας	***Ἰωαννίκιος***
ὁ Λαρίσσης	***Γρηγόριος***	ὁ Φ/πόλεως	***Γαβριὴλ***
ὁ Ἰωαννίνων	***Παρθένιος***	ὁ Διδυμοτείχου	***Δανιὴλ***
ὁ Ἡρακλείας	***Ἰωαννίκιος***	ὁ Μηδείας	***Μητροφάνης***
ὁ Χαλκηδόνος	***Παχώμιος***	ὁ Δρύστρας	***Ἀντώνιος***
ὁ Ἀθηνῶν	***Δανιὴλ***	ὁ Βιζύης	***Δαμασκηνὸς***
ὁ Σερρῶν	***Δανιὴλ***	ὁ Σηλυβρίας	***Σωφρόνιος***
ὁ Προύσης	***Χρύσανθος***	ὁ Ἰκονίου	***Παρθένιος***
ὁ Κυζίκου	***Ἄνθιμος***	ὁ Ἀγχιάλου	***Λαυρέντιος***
ὁ Ἀμασείας	***Ἰεζεκιὴλ***	ὁ Αἰγίνης	***Δωρόθεος***
ὁ πρώην Σμύρνης	***Ἱερεμίας***	ὁ Ρόδου	***Μελέτιος.***

B στ 1 Π/χικὸς κώδιξ Α′ σελ. 233

Ὑπόμνημα ἐκλογῆς Παρθενίου Β′ ὡς μητροπολίτου Ἰωαννίνων.

Τῆς ἁγιωτάτης μητροπόλεως Ἰωαννίνων φυσικῷ θανάτῳ πρὸ ὀλίγου τὸν οἰκεῖον ἀποβαλομένης ποιμένα καὶ δίχα γνησίου ἀρχιερέως διατελούσης, ἡμεῖς οἱ ἐπὶ συστάσει τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας συνεληλυθότες ἀρχιερεῖς ἐπιτάξει τοῦ παναγιωτάτου καὶ σοφωτάτου ἡμῶν αὐθέντου

καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίλλου, εἰσελθόντες ἐν τῷ ναῷ τῷ πατριαρχικῷ τοῦ ἁγίου μεγαλομάρτυρος γεωργίου, ἐποιήσαμεν ψήφους κανονικὰς διὰ τὴν μητρόπολιν ταύτην Ἰωαννίνων· ἐν αἷς πρῶτον μὲν ἐθέμεθα τὸν ὁσιώτατον ἱερομόναχον κὺρ Παρθένιον, ἔπειτα δὲ τὸν παπᾶ Εὐθύμιον, τὸν δὲ παπᾶ παναγιώτην οἰκονόμον τρίτον· διὸ καὶ εἰς ἔνδειξιν κατεστρώθη τὰ ὀνόματα αὐτῶν ἐν τῶδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας.

Ἐν ἔτει αχλβ μηνὶ Ἰουλίῳ ἰνδ. ιε΄.

ὁ Ἀδριανουπόλεως **Παρθένιος** ὁ Θεσσαλονίκης **Γρηγόριος** ὁ Φιλιππουπόλεως **Χριστόφορος** ὁ Χίου **Ἰγνάτιος** ὁ Ἐλασσῶνος **Ἰωάσαφ**.

B στ 2 Π/χικὸς κώδιξ Β΄ σελ. 67

Ὑπόμνημα ἐκλογῆς Παρθενίου Β΄ ὡς μητροπολίτου Ἀδριανουπόλεως

Τῆς ἁγιωτάτης μητροπόλεως Ἀδριανουπόλεως ἀπροστρατεύτου μεινάσης, ὡς τοῦ ἐν αὐτῷ ἀρχιερατεύοντος παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου παρθενίου εὐλογίᾳ πάντων καὶ ψήφῳ κοινῇ κανονικῇ προβιβασθέντος εἰς τὸν ὑψηλότατον καὶ ἁγιώτατον θρόνον κωνσταντινουπόλεως, προστάξει αὐτοῦ τοῦ παναγιωτάτου συνήχθημεν πάντες οἱ παρευρεθέντες ἀρχιερεῖς ἐν τῷ πατριαρχείῳ, τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος γεωργίου, καὶ ψήφους κανονικὰς ποιησάμενοι εἰς ἐκλογὴν προσώπου τῆς μητροπόλεως αὐτῆς ἁρμόζοντος αὐτῇ ἐθέμεθα πρῶτον μὲν τὸν πανιερώτατον καὶ λογιώτατον μητροπολίτην συναδελφὸν ἡμῶν Ἰωαννίνων κὺρ Παρθένιον, ἔπειτα δὲ τὸν πανιερώτατον μητροπολίτην πρώην Ρόδου κὺρ Παχώμιον καὶ τρίτον τὸν πανιερώτατον μητροπολίτην Λακεδαιμονίας κὺρ Ἰωάσαφ. Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν κατεστρώθη καὶ τὰ ὀνόματα αὐτῶν ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χ. Μ. Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ αχλθ Ἰουλίῳ ζ΄ ἰνδ. ζ΄.

ὁ Ἐφέσου **Μελέτιος**
ὁ Ἡρακλείας **Ἰωαννίκιος**
ὁ Κυζίκου **Ἄνθιμος**
ὁ Τορνόβου **Μακάριος**
ὁ Χαλκηδόνος **Παχώμιος**
ὁ Βερροίας **Ἰωαννίκιος**
ὁ Ρόδου **Μελέτιος**
ὁ Λαρίσσης **Γρηγόριος**
ὁ Σερρῶν **Δανιὴλ**
ὁ Ἀμασείας **Ἰεζεκιὴλ**
ὁ Προικοννήσου **Γρηγόριος**
ὁ Διδυμοτείχου **Δανιὴλ**
ὁ Βιζύης **Δαμασκηνὸς**
ὁ Δρύστας **Ἀντώνιος**
ὁ Βερροίας **Ἰωαννίκιος**
ὁ Μηδείας **Μητροφάνης**
ὁ πρώην Σμύρνης **Ἱερεμίας**
ὁ Ρόδου **Μελέτιος**
ὁ Κῴου **Ἰωακεὶμ**
ὁ Ἀγχιάλου **Σωφρόνιος**

ὁ Ἀθηνῶν ***Δανιὴλ*** ὁ Μεσημβρίας ***Ἀκάκιος***
ὁ Ἰωαννίνων ***Παρθένιος*** ὁ Νέων Πατρῶν ***Ἰωάσαφ***
ὁ Φιλιππουπόλεως ***Γαβριὴλ*** ὁ Σηλυβρίας ***Σωφρόνιος***
ὁ Παλαιῶν Πατρῶν ***Παρθένιος*** ὁ Ἀγαθουπόλεως ***Γρηγόριος***
ὁ Ναυπάκτου καὶ Ἄρτης ***Λαυρέντιος.***

Β στ 3 Νομ. Συναγωγὴ 227

Ὑπόμνημα ἐκλογῆς Παρθενίου Β'

Τῷ πανάγαθῳ Θεῷ χάρις παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον καταβαῖνόν ἐστι πρὸς τοὺς ἀξίους τῆς τοιαύτης ὑποδοχῆς· ἐπειδὴ λοιπὸν καὶ τῶν ἱερῶν ἀποστολικῶν κανόνων τοῦ τετάρτου καὶ δεκάτου καὶ τῶν μετέπειτα θείων πατέρων διαρρήδην ἀποφαινομένων ὅτι ἡ μὲν κακεντρεχὴς ἐπιπήδησις ἀπὸ παροικίας εἰς παροικίαν ἐπισκόπου τινὸς κατακρίνεται ἡ γεγονυῖα δὲ μετάθεσις χάριτι ἀγαθῇ δι' εὔλογον μεγάλην αἰτίαν καὶ στηριγμὸν τῆς ἐκκλησίας μετὰ μεγίστης παρακλήσεως ἐπισκόπων πολλῶν ἐπιτρέπεται· καὶ τοῦ ἤδη ἐκβληθέντος τοῦ πατριαρχικοῦ θρόνου γέροντος παρθενίου, καθαιρέσει τελείᾳ κατακριθέντος καὶ καταδικασθέντος νομίμως τε καὶ κανονικῶς ὡς ἡ εὔλογος κατ' αὐτοῦ καθαίρεσις ἐν τῷ παρόντι ἱερῷ κώδικι τῆς μεγάλης ἐκκλησίας ἀντικρὺ φαίνεται, καὶ τοῦ ἁγιωτάτου πατριαρχικοῦ οἰκουμενικοῦ θρόνου κενοῦ μείναντος καὶ ἀποιμάντου, ἡμεῖς, οἱ ἀρχιερεῖς τε, κληρικοί, ἄρχοντες τῆς πολιτείας, ἱερεῖς τε καὶ οἱ λοιποὶ ἁπαξάπαντες χριστιανοί, γνώμῃ κοινῇ καὶ συνδιασκέψει προσεκαλέσαμεν τὸν ἤδη παρόντα πανιερώτατον καὶ λογιώτατον μητροπολίτην Ἀδριανουπόλεως κύριον Παρθένιον ἀναδέξασθαι αὐτόν, ὅντινα καὶ ὁ μακαρίᾳ τῇ λήξει γενόμενος γέρων πατριάρχης κὺρ Κύριλλος ἰδών, οἷα σοφῶς σκεψάμενος, ποιμαντικῶς ὄντα, ἄξιον διοικήσεως τοῦ θρόνου αὐτοῦ πολλάκις μετάκλητον καὶ διάδοχον τοῦ θρόνου αὐτοῦ ἐμελέτα ποιῆσαι· ὁ δὲ τοῦτο μὲν αἰδούμενος καὶ εὐλαβούμενος τὸ ἔντιμον ἐκείνου γῆρας τοῦτο δὲ καὶ ἀποβλέπων καὶ σκοπῶν τὸ ἧττον τῆς ἡλικίας αὐτοῦ ἀντέτεινε καὶ οὐ παρεδέχετο. Ἐν δὲ τῷ μεταξὺ τῶν πραγμάτων διαδραμόντων καὶ τοῦ ἐκ Βερροίας ἀναφυέντος καὶ μετ' οὐ πολὺ τῇ θείᾳ δίκῃ ἐξοστρακισθέντος τοῦ οἰκουμενικοῦ θρόνου, καὶ τὸ προσῆκον τῇ κακίᾳ αὐτοῦ ἀπολαβόντος, πάλιν προσεκαλέσαμεν αὐτὸν τῇ πατριαρχικῇ ἀξίᾳ. Ταῖς πολλαῖς ἡμῶν παρακλήσεσι καὶ δεήσεσι καὶ τούτου οὐδὲ τότε κατανεύσαντος διὰ πολλὰς αἰτίας δήλους οὔσας πρὸς πάντας, καὶ ὅλως μὴ ἀνεχομένου, προσηγάγομεν τὸν διαληφθέντα καθῃρημένον γέροντα παρθένιον, νομίζοντες τάχα διοικῆσαι τὴν ἐκκλησίαν καὶ κυβερνῆσαι ἐν οἷς ἐπιέζετο χρέεσιν· αὐτὸς δὲ ἐφάνη οὐ μόνον οὐδὲ ἥντινα ποιήσας βοήθειαν τῇ ἐκκλησίᾳ ἢ ὠφέλειαν ἀπὸ τῆς ψευδολογίας καὶ ἐπιορκίας αὐτοῦ ἔτι καὶ ἀκαταστασίας, ἀλλὰ καὶ

διωγμὸν ἤρξατο κινεῖν κατὰ τῶν ἀρχιερέων καὶ ἐπιβουλήν, μάλιστα δὲ πάντων κατὰ τῶν ἐγκρίτων καὶ πρωτευόντων τῆς ἱερᾶς τῶν ἀρχιερέων συνόδου· τοῦ δὲ ἀδεκάστου κριτοῦ τῶν ὅλων Θεοῦ ἰδόντος τὸ κακεντρεχὲς τῆς ὀλισθηρᾶς καὶ θεοστυγοῦς αὐτοῦ γνώμης, καὶ καταστρέψαντος αὐτὸν ὡς λάκκον, ὅν αὐτὸς ὤρυσσε πρότερον, ἀπελαθέντος τοῦ οἰκουμενικοῦ θρόνου καὶ διωχθέντος τῆς πατριαρχικῆς ἀξίας, συνήλθομεν πάλιν ἐπὶ τὸ αὐτὸ (τὸ χειρόγραφον ἔχει ἐπὶ τῷ αὐτῷ) καὶ προσεκαλέσαμεν τὸν νῦν εἰρημένον πανιερ. καὶ λογιώτατον μητροπολίτην Ἀδρ/πόλεως κύριον κύριον Παρθένιον, τὸν ποθεινότατον ἡμῶν ἀδελφὸν καὶ συλλειτουργόν, εὑρόντες ἐν ἡμῖν ἄξιον καὶ ἱκανὸν ἐπιστασίας τοιαύτης ποιμαντικῆς, λόγῳ καὶ γνώσει κεκοσμημένον καὶ τῇ τῶν πραγμάτων ἐμπειρίᾳ δόκιμον, ὥστε ὡς κυβερνήτης καλὸς καὶ προνοούμενος πάντων τῶν τῆς ἐκκλησίας πραγμάτων, δυνάμενος ἰθύνειν αὐτὴν καὶ διεξάγειν ἐπὶ πᾶσαν ἀγαθὴν καὶ εἰρηνικὴν κατάστασιν, εὐκοσμίαν τε καὶ διευθέτησιν καὶ ἀπαλλάξαι αὐτὴν τοῦ ἐπικειμένου αὐτῇ βάρους τῶν χρεῶν, καίτοι μὴ στέργοντα μόλις κατεπείσαμεν αὐτὸν ἤξαντα ταῖς πολλαῖς ἡμῶν παρακλήσεσι καὶ δεήσεσι. Τούτων χάριν θεόθεν ὁδηγηθέντες ἐξελέξαμεν αὐτόν, ποιήσαντες ψήφους κανονικὰς πρότερον κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ διατύπωσιν, ἐν αἷς πρῶτον μὲν ἐθέμεθα τὸν πανιερώτατον καὶ λογιώτατον μητροπολίτην Ἀδριανουπόλεως κύριον κύριον Παρθένιον, δεύτερον τὸν μακαριώτατον Ἀλεξανδρείας κὺρ Νικηφόρον, καὶ τρίτον τὸν μακαριώτατον Ἀντιοχείας κὺρ Εὐθύμιον, ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν ἐγράφησαν καὶ τὰ ὀνόματα αὐτῶν καὶ κατεστρώθησαν ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας. Ἐν ἔτει σωτηρίῳ ,αχμδ΄ μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος ιγ΄.

B στ 4 Νομ. Συναγωγὴ 242

Ἐπειδὴ ὁ Παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης ὁ Οἰκουμενικὸς Πατριάρχης κύριος κύριος Παρθένιος διὰ τὸ ἀκουσθῆναι πρὸς τὴν Αὐτοῦ Παναγιότητα εἶναί τινας ἐπιβούλους αὐτῆς τε καὶ τῆς μεγάλης ἐξουσίας καὶ ὑπεναντίους καὶ μελετᾶν ἐνέδρας καὶ σκευωρίας καὶ ἔξωσιν ἐπινοεῖν ἀπὸ τοῦ πατριαρχικοῦ θρόνου καὶ ζημίαν μεγάλην προξενῆσαι τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ φθορὰν κοινὴν καὶ ἀφανισμὸν τέλειον καὶ σκάνδαλον ἀνίατον συνεκροτήσατο σύνοδον ὑπερτελῆ ἀρχιερέων, κληρικῶν, ἀρχόντων καὶ λοιπῶν ἐγκρίτων τῆς ἡμετέρας πολιτείας τῆς Κωνσταντινουπόλεως καὶ εἰς μέσον προέθετο τὴν κατ᾽ αὐτοῦ τε καὶ τῆς ἐκκλησίας ταύτην ἐπιβουλὴν καὶ ἐναντιότητα, τούτου χάριν ἀπεφάνθη κοινῶς παρ᾽ ἡμῶν πάντων καὶ ἐγνωμοδοτήθη ἵνα ἐάν τις φανείη τῆς τοιαύτης ἐπιβουλῆς συνεργὸς καὶ σύμφωνος καὶ ὁμογνώμων ἢ ἀρχιερεύς, ἢ κληρικός, ἢ ἄρχων, ἢ ἀρχόμενος καὶ ὑποστῇ τῇ ἐπιβουλῇ καὶ φανερωθῇ δι᾽ ἀποδείξεων ἐγγράφως ἢ ἀγράφως, ὁ τοιοῦτος εἰ μὲν ἀρχιερεύς ἐστι καθαιρείσθω καὶ τῆς ἐπαρχίας αὐτοῦ ἐκπι-

πτέσθω ἀναντιρρήτως, εἰ δὲ κληρικὸς καὶ ἄρχων καὶ ἀρχόμενος παιδευέσθω ἐκκλησιαστικῶς κατὰ τὸ προσῆκον αὐτῷ. Ὅθεν εἰς ἀσφάλειαν ἐγράφη τὸ παρὸν καὶ ὑπεγράφη οἰκείαις χερσὶν ἡμῶν ,αχμστ΄ Μαρτίου ζ΄ ἰνδ ιδ΄.

B στ 5 Νομ. Συναγωγὴ φύλλον 233α 233β

Τόμος συνοδικὸς (ἐπὶ Παρθενίου τοῦ Β΄)

Ὅσα ἐκεῖνα γίνονται μεταξὺ τῆς ἀνθρωπότητος, μὲ ἑκούσιον γνώμην καὶ θέλησιν, πρέπει νὰ φυλάγωνται ἀσφαλῶς καὶ νὰ ἔχωσι τὸ ἀμετάθετον εἰς αἰῶνα τὸν ἅπαντα, τὸ ὁποῖον καὶ οἱ θεῖοι κανόνες καὶ οἱ νόμοι οἱ ἐκκλησιαστικοί τε καὶ πολιτικοὶ τὸ θέλουσι νὰ εὑρίσκεται τοιουτοτρόπως· καὶ ἐάν τις ἀπὸ κακίας καὶ αἰσχροκερδείας, ἀλαζονείας καὶ φιλαυτίας οἱῳδήτινι τρόπῳ κινηθείη διασεῖσαί τι ἐξ αὐτῶν, καὶ ἑτέραν κατάστασιν ἐπαναγαγεῖν καὶ βαλεῖν, παιδεύεσθαι ὡς εἰκός. Ἐπειδὴ λοιπὸν καὶ εἰς τὰς ἡμέρας ταύτας, μὲ τὸ νὰ εἶναι εἰς τὴν μεγάλην τοῦ Χριστοῦ ἐκκλησίαν τρεῖς διαφοραί, καὶ νὰ τὴν συγχίζουν ἡμέρᾳ τῇ ἡμέρᾳ καὶ νὰ ἀκολουθῇ ζημία τις καὶ ὄλεθρος ἐπ᾽ αὐτήν, κατὰ τὸ ἐν ἡμῖν χρέος, ἠθελήσαμεν νὰ λάβωμεν τὰς αὐτὰς τρεῖς διαφορὰς καὶ νὰ εἰρηνεύσωμεν οὐ μόνον τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὸν ποιμαίνοντα αὐτὴν ἀποστολικῶς τε καὶ κανονικῶς ἰθύνοντα τῇ τοῦ Χριστοῦ χάριτι παναγιώτατον ἡμῶν αὐθέντην καὶ δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην κύριον κὺρ Παρθένιον, ἤτοι ἡμεῖς οἱ εὑρισκόμενοι ἐν τῇ μεγαλουπόλει καὶ τῷ γαλατᾷ ἄρχοντες καὶ κληρικοὶ καὶ οἱ λοιποὶ πρωτεύοντες πασῶν τῶν ἐνοριῶν· καὶ ἤλθομεν εἰς ἓν ἀπαξάπαντες εἰς τελείαν λύσιν καὶ διόρθωσιν τῶν ἀνωτέρω τριῶν διαφορῶν, αἱ ὁποῖαι εἰσιν αὗται, ἡ μία, ἡ ζήτησις τῶν ἄσπρων τοῦ τιμιωτάτου καὶ εὐγενεστάτου ἄρχοντος κυρίτζη παυλάκη, • ἅπερ λέγει δαπανῆσαι ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τῷ καιρῷ τῆς πατριαρχείας τοῦ κὺρ Ἰωαννικίου, ἡ δευτέρα, ἡ ἀνάπαυσις τοῦ αὐτοῦ κὺρ Ἰωαννικίου καὶ ἡ τρίτη ἡ ὁπωσδήποτε γεγονυῖα παιδεία τινῶν ἀρχιερέων καί κληρικῶν καὶ ἄλλων· καὶ ἐλάβομεν ἐν ταῖς χερσὶν ἡμῶν γράμματα ἀδείας ἤγουν λεγόμενα κομπρομέσα, ἓν μὲν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ ἕτερον τοῦ εὐγενεστάτου ἄρχοντος κυρίτζη παυλάκη (τρίτον καὶ τῶν ἐντιμοτάτων ἀρχόντων τῆς πόλεως καὶ τοῦ γαλατᾶ καὶ τῶν πρωτευόντων πασῶν τῶν ἐνοριῶν) καὶ τέταρτον καὶ τελευταῖον τῶν πανιερωτάτων μητροπολιτῶν, δηλοῦντα καὶ περιέχοντα τὸ, ὅ ἂν παρ᾽ ἡμῶν θεόθεν ὁδηγουμένων ἐν καθαρᾷ συνειδήσει καὶ ἀφιλοπροσώπῳ γνώμῃ διακριθῇ εἰς τὰς αὐτὰς τρεῖς διαφοράς, τῶν ζητουμένων ἀπὸ τῆς ἐκκλησίας ἄσπρων τοῦ ἄρχοντος, τῆς ἀναπαύσεως τοῦ κὺρ Ἰωαννικίου καὶ τῆς οἰκονομίας καὶ κυβερνήσεως τῶν ἐν παιδείᾳ ἐκκλησιαστικῇ περιπεσόντων, ἔχειν τὴν ἰσχὺν καὶ τὸ ἀμετάθετον. Διὰ τοῦτο βεβαιοῦντες καὶ ἐπικυροῦντες τὴν μέλλουσαν γενέσθαι ἡμετέραν κρίσιν τε καὶ ἀπόφασιν διὰ τοῦ παρόντος συνοδικοῦ τόμου, γράφομεν καὶ

λέγομεν, ὅτι ἄν ἴσως καὶ ἀπὸ τῶν τεσσάρων αὐτῶν διαφόρων προσώπων δὲν στέρξῃ ἐκεῖνο ὁποῦ μὲ τὴν χάριν τοῦ Θεοῦ κάμνομεν τὴν τελείαν διόρθωσιν τῶν τριῶν αὐτῶν διαφορῶν καὶ ἀπόφασιν μὲ φόβον Θεοῦ καὶ ἀλήθειαν, καὶ ἐξέλθῃ καὶ ἀποσκιρτήσῃ ἐπὶ βλάβῃ καὶ θυσίᾳ τῆς Μ. τοῦ Χρ. Ἐκκλησίας, ὄχι μοναχὰ νὰ εἶναι ὑπόδικος τῇ ἐκκλησιαστικῇ παιδείᾳ καὶ τῇ βασιλικῇ ἐξουσίᾳ ὡς ἀναπολόγητος καὶ αὐτοκατάκριτος, ἀλλὰ καὶ ὅλοι μας ὡς ἐξ ἑνὸς στόματος καὶ μιᾶς φωνῆς, νὰ εἴμεστε ἐναντίον του καὶ πολέμιοί του καὶ νὰ τὸν παιδεύωμεν μὲ κάθε λογῆς τρόπον καὶ δύναμιν κἂν βασιλικὴν κἂν ἐκκλησιαστικὴν καὶ νὰ μένῃ ἀπολογούμενος, ἀποτρόπαιος καὶ ἀπόβλητος. Ἔτσῃ (sic) γράφομεν καὶ ὑπογράφομεν ἐν τῷ παρόντι ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας οἰκειοχείρως.

Ἐν ἔτει ,αχμθ΄ μαΐου λα΄ ἰνδικτιῶνος β΄.

B στ 6 Νομ. Συναγωγὴ 225-226

Ἐγένετο λοιπὸν καὶ ὁ ὀνόματι Παρθένιος χρηματίσας τὸ πρότερον μητροπολίτης Ἰωαννίνων, ἄνθρωπος, ὅς πρὸς τὸ ἐπιβῆναι τῆς ἐπαρχίας ταύτης, οὐδέν τι τῆς κακίας ἀφῆκεν ἀπρόσβλητον· καὶ γὰρ μετὰ τὸ ἀναδεχθῆναι τὴν ἀρχὴν αὐτῆς καὶ ἐπιστασίαν, καθαρᾶς οὔσης καὶ ἀνωτέρας χρέους παντὸς καὶ δανείου, καὶ ἀπεράστου δανειστῶν, μικροῦ δεῖν εἰς βυθὸν ᾅδου παρεπέμψατο καὶ τοὺς ἐν αὐτῷ χριστιανούς, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα διεσκόρπισεν ἄν, πατάσσων αὐτοὺς τῇ ῥάβδῳ τῶν δυναστευόντων, ἀφειδῶς καταναλίσκων καὶ διαφθείρων τὰ τῆς κατὰ τόπον ἐκκλησίας (χρήματα;) ἐπ᾽ οὐδενὶ χρησίμῳ καὶ ἐπωφελεῖ, τῆς δὲ πολιτείας ἐκείνης ὡς λοιμικῆς νόσου αὐτὸν ἀποστρεφομένης, καὶ οὐδὲ αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν ἀνεχομένης, πάντα ἀριθμὸν ὑπερβαινόντων τῶν σκανδάλων αὐτοῦ καὶ τῶν ἀπὸ κενοδοξίας αὐτοῦ καὶ φιλονεικίας ζημιῶν. Ἔνθεν τοι καὶ μὴ δυνάμενος ὑπενεγκεῖν τὰ κατ᾽ αὐτοῦ ἀπειλούμενα μετέβη ἐκεῖθεν, ἔκδημος ἐγένετο ἐπὶ κωνσταντινούπολιν, τὸ δ᾽ ἀπάνωθεν τὶς διηγήσεται τὰς καθ᾽ ἑκάστην φαμὲν ῥαδιουργίας αὐτοῦ, τοὺς πρὸς ἀλλήλους τῶν ἀρχιερέων ἐρεθισμοὺς τῶν πρὸς ἃ ἐπεθύμει ἐναγαγών, δολίων ἔργων καὶ λόγων, τῶν ἐπαφιεμένων ταῖς τῶν ἁπλουστέρων ἀκοαῖς, θέλγητρον ἄν τις εἴποι ἐπὶ κρημνῷ καὶ ἀπωλείᾳ ψυχῶν, καὶ ἡ πρὸς αὐτὸν παρ᾽ ἀξίαν εὔνοια τάραχον ἐνεποίει καὶ σύγχυσιν οὐκ ὀλίγην τῇ ἐκκλησίᾳ πάσῃ καὶ τῷ συλλόγῳ παντὶ τῶν ἀρχιερέων, πολλῷ μᾶλλον τοῖς κατὰ καιρὸν πατριάρχαις, τῆς δὲ μείζονος προεδρείας ἐφιέμενος, καὶ τῆς κακῆς δόξης καὶ ἀπάτης γλιχόμενος, ἢ μᾶλλον κέρδους καὶ μεγαλείου κερδαλέῳ φρονήματι ἐχρήσατο· Ὁ δὲ ἦν ὑπανοίγων κατὰ μικρὸν τὰς ἀκοὰς τοῦ εὐεργέτου αὐτοῦ γέροντος μακαρίτου κὺρ Παρθενίου καὶ παραθίγων αὐτὸν εἰς καθέδραν τοῦ οἰκουμενικοῦ θρόνου ἐνῆγεν αὐτόν, ὡς ἐπεξελεύσει δῆθεν τῶν ἐχθρῶν, κατῆγε μᾶλλον τεχνικῶς, καὶ κατεβίβαζεν εἰς ὅπερ ἀφεώρα καὶ ἤλπιζεν, ὡς

Ἐχρῆν ὄντως τὸ φαῦλον εὐθέως κατὰ τὸν εἰπόντα κωλύεσθαι, ἢ μετὰ βραχὺ καταλύεσθαι· πολλάκις γὰρ καὶ τὸ βραχύτατον δεινὸν παρορώμενον μέγαν ἐπέτεκε κίνδυνον, ὁποῖον ἤδη παρομαρτῆσάν ἐστιν ἰδεῖν, ὡς μὴ ὤφειλε, ἐν τῇ ἁγίᾳ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ. Οὐκ οἶδα γὰρ ὅπως πρὸ χρόνων μετρουμένων τινῶν, καὶ οὐ πάνυ συχνῶν εἴτε πειθανάγκῃ τινὶ τῶν καιρικῶν περιστάσεων, εἴτε ἀμελείᾳ, καὶ ἀπρονοησίᾳ τοῦ μέλλοντος κακοῦ συσχεσθέντες οἱ πρὸ ἡμῶν τοῦ καιροῦ ἀρχιερεῖς ἔφθασαν εὐχερῶς καθυποκύψαι τοῖς ἅπαξ λῃσταρχίᾳ χρησαμένοις καὶ δυναστείᾳ πρὸς ἐπίβασιν τοῦ ἐφ᾿ ἡμᾶς πατριαρχικοῦ καὶ οἰκουμενικοῦ θρόνου τούτου τῆς Κ.Π. κἀκείνους οὐ μόνον ὡς πατριάρχας τοὺς λῃστάρχας παρὰ κανόνας ἀποδεχθῆναι τέως, ἀλλὰ καὶ δι᾿ ἐγγύης αὐτῶν εἰς ἀγωγὴν ἐκείνους χρησίμους συντελέσαι, καὶ συστήσασθαι τοὺς ἀσυστάτους δι᾿ ἧς αἰτίας μέγα τι συνετελέσθη δεινὸν καὶ πάθος ἀνήκεστον καὶ βαρυσυμφορώτατος κοινὴ συμφορά· πολλῶν γὰρ ἕως ἄρτι τοιούτων θεοστυγῶν ἀνδραρίων ὡς σκευῶν πονηρῶν κατηρτισμένων πρὸς ἀπώλειαν, εἰς ἔφεσιν ἀναξίαν γεγονότων τῆς πατριαρχικῆς ἀξίας οἴστρῳ σατανικῷ καὶ διαβολικῇ δημαγωγίᾳ κἀντεῦθεν προσαναπτερωθέντων αὐτῷ τούτῳ τ ῷ θάρρει, καὶ τῇ πεποιθήσει τῆς τῶν ἀρχιερέων ἑκουσιοακουσίου ἀποδοχῆς καὶ ἐγγύης, δραξαμένων τε θράσει τυραννικῷ τοῦ πατριαρχικοῦ θρόνου καὶ θυσάντων δεινῶς καὶ ἀπολεσάντων δίκην λῃστῶν ἐρραδιουργήθη τὰ πάνδεινα. Συνεχῶς γὰρ οἱ ἄθεοι συχνοί τινες προσορμήσαντες ἐκ διαβόλου παρασκευῆς καὶ ὥσπερ κύμασιν ἐπεγείραντες κύματα κατεβύθισαν ἄρδην τὴν ἐκκλησίαν Χριστοῦ καὶ εἰς ἐσχάτους ὀλεθρίους πυθμένας κατήγαγον αὐτὴν ταῖς ἐπιβατικαῖς ταύταις καὶ λῃστρικαῖς αὐτῶν ἐπεισφρήσεσιν, ἐν οἷς κλυδωνιζομένη τὴν σήμερον ἐπικινδυνεύει τὰ λοίσθια. Ὅθεν οἱ ἐνδημοῦντες ἤδη ἐν Κ.Π. συναδελφοὶ ἀρχιερεῖς τὸν ἀκρότατον κίνδυνον τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ ἡμῶν αὐτῶν κατοπτεύοντες σκέψει κοινῇ διὰ τῆς θείας χειραγωγίας ἀναχαιτίσαι διέγνωμεν τὰς ἀκαθέκτους τῶν ἀλαστόρων ὁρμὰς τῇ ἀφαιρέσει τῆς πληθυνούσης ταύτας αἰτίας· τοῦ γὰρ αἰτίου ἀναιρουμένου ἀεὶ συναφαιρεῖσθαι πάντως καὶ τὰ ἐξ αὐτοῦ πάντα πέφυκεν, ἥτις ἐστὶ αὐτὴ ἐκείνη ἡ περιποίησις καὶ ἐγγύη πρὸς τοὺς τοιούτους ὡς διείληπται, ὧν ἡ συναναστροφὴ

δεινὴ καταστροφὴ τῆς ἐκκλησίας ἐστὶ καὶ ἀπώλεια, οἷς ὁ θεὸς ἔκδικον ἐποίσοι τὴν ἀγανάκτησιν· καὶ τῇ κοινῇ γνώμῃ καὶ ὁμοφώνῳ συναινέσει γράφομεν καὶ ἀποφαινόμεθα διὰ τῆς παρούσης συνοδικῆς τομογραφίας ἵνα καὶ ἐπωφελῶς τὸν πατριαρχικὸν διϊθύναντος ἤδη θρόνον τοῦ παναγ. καὶ λογιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκ. πατριάρχου κ. κ. Διονυσίου, ἐὰν ἐπὶ τῶν ἡμερῶν τῆς Αὐτοῦ παναγιότητος ἢ καὶ κατὰ καιροὺς ἄλλους ἐξαναστάς, καὶ ὁρμῇ τυρανικῇ τις χρησάμενος εἴτε τῶν προπατριαρχευσάντων δηλονότι (535) ἢ καὶ ἄλλος τῶν μήπω πατριαρχικὴν εἰληχότων κλῆσιν ἐπιβατικῶς καὶ ληστρικῶς χωρὶς ἐκλογῆς συνοδικῆς καὶ προσκλήσεως ἐπεισφρήσει εἰς τὸν π/χικὸν θρόνον καὶ συνταράξει τὴν ἁγίαν τοῦ Χριστοῦ ἐκκλησίαν, καὶ ὑποτάξαι πειραθήσεται τὰ κατ᾽ αὐτὴν ἑαυτῷ χειρὶ βιαίᾳ καὶ τρόποις δυναστείας πατριαρχεῦσαι κακούργως, ἁπαξάπαντες οἱ ἀρχιερεῖς ἀπὸ πρώτου ἕως ἐσχάτου κατὰ πάντα λόγον καὶ τρόπον γνώμαις ὅλαις αὐτὸν ἀποστρέφεσθαι καὶ ἀποφεύγειν καὶ ἀντίστασθαι παντὶ σθένει τῇ δυναστικῇ αὐτοῦ ἐπιβάσει καὶ ἀποσοβεῖν καὶ ἀποσκορακίζειν τὸν τοιοῦτον καὶ μηδόλως συγκοινωνεῖν αὐτῷ καὶ συμφωνεῖν καὶ συνέπεσθαι τοῖς ἐπιβατικοῖς αὐτοῦ καὶ παρανόμοις ἐπιχειρήμασι. Πρὸ πάντων δὲ τὴν ὑπὲρ αὐτοῦ ἐγγύην ἀποφεύγειν μέχρι τῶν ἐσχάτων κινδύνων, καὶ κατ᾽ οὐδένα τρόπον τὸ σύνολον πειθαρχεῖν γενέσθαι ἡμᾶς ὑπὲρ ἐκείνου ἐγγυητάς, τοῦ δανείζεσθαι χρήματα δηλαδὴ καὶ διανέμειν ταῖς χρείαις καὶ κακουργίαις τῆς πατριαρχείας ἢ μᾶλλον εἰπεῖν κακιαρχίας αὐτοῦ. Τοῦτο γάρ ἐστιν τῶν συμφορῶν τὸ κεφάλαιον, καὶ τῆς πανωλεθρίας ἀρχὴ, καὶ περὶ τούτου δεῖ δήπουθεν τὸν ἀκρότατον ὑποδυθῆναι πάντα ἀγῶνα, τοῦ καταλυθῆναί φημι τὴν τοιαύτην αἰτίαν τῶν ἐπιβατικῶν ἐγχειρήσεων. Ὃς δ᾽ ἂν τῶν ἀρχιερέων ὅπως ποτε παρεωρακὼς τὰ συμπεφωνημένα ταῦτα τῆς κοινῆς ὁμονοίας ἀποσκιρτήσῃ καὶ ἀναδραμὼν πρὸς τὸν τοιοῦτον ἐπιβάτην σύμμοιρος κατασταθῇ καὶ συμμέτοχος ἐκείνῳ καὶ ὑπερασπιστὴς αὐτῷ ἀναφανῇ λόγῳ καὶ ἔργῳ καὶ συγκοινωνήσῃ τῷ παρανόμῳ καὶ τολμήσῃ τὴν ἀπηγορευμένην ἐγγύην ἑαυτῷ ἐπιγράψασθαι λειποτακτῶν ὁ τοιοῦτος συναποδιώκηται καὶ συνεξοστρακίζηται τῷ ἀντάρτῃ ἐκείνῳ κατὰ κράτος καὶ ἐκπίπτῃ τῆς ἀρχιερατικῆς συγκληρίας καὶ ἀφαιρῆται τῆς ἀρχιερωσύνης ἀπαραιτήτως καὶ ἀποστερῆται τῆς ἰδίας ἐπαρχίας ἀμετακλήτως καὶ ὑπεύθυνος γένηται τῶν ἀξίων ποινῶν καὶ ἐκδικήσεων καὶ εἰς ὁποῖον καὶ ὁπόσον χρέος ἐγένετο ἐγγυητὴς μένῃ αὐτὸς ἐκεῖνος ἔνοχος μόνος, ἡ δὲ ἐκκλησία καὶ ἡ κοινότης ἡμῶν κατ᾽ οὐδένα τρόπον ἀποδέχηται τὸ χρέος ἐκεῖνο, μήτε ἀπολογῆται αὐτό, πᾶσαν δὲ ἀποκλείειν ἀπολογίας ἀφορμὴν καὶ τελείως εἶναι τὸν τοιοῦτον ἡμῖν ἀνένδεκτον. Ταῦτα πάντα συνομολογοῦμεν κοινῶς παρά τε θεῷ καὶ ἀνθρώποις καὶ συνυπισχνούμεθα τούτοις ἐμμένειν ἀμετακινήτως μέχρι παντὸς ἐν βάρει ἀλύτου ἀφορισμοῦ καὶ αἰωνίου τοῦ ἀπὸ θεοῦ παντοκράτορος ἐπὶ κοινῇ ὠφελείᾳ καὶ συστάσει τῆς ἁγίας τοῦ Χριστοῦ

Μ. Ἐκκλησίας. Ὅθεν καὶ εἰς ἔνδειξιν συνεξετέθη καὶ ὁ παρὼν τόμος καταστρωθεὶς ἐν τῷδε τῷ ἱερῷ κώδικι τοῦ π/χικοῦ τούτου θρόνου καὶ κατεσφραγίσθη ταῖς ἡμετέραις ὑπογραφαῖς.

Ἐν ἔτει σωτηρίῳ ͵αχογ΄ ἐν μηνὶ Ἰουλίῳ ἰνδ. ια΄.

Γβ 5 (Κῶδιξ Φωτίου-Κυπρίου Α΄ σελ. 268—279)

268 Ἀνάγκη εἶναι, καθὼς τὸ ἱερὸν εὐαγγέλιον λέγει, νὰ ἔλθουν τὰ σκάνδαλα εἰς τὸν κόσμον· ἀλλὰ ποία εἶναι ἡ ἀνάγκη αὐτή; ἢ δηλονότι ἡ πονηρὰ καὶ ἄχαμνὴ κατάστασις τῶν ἀνθρώπων· ὅταν γὰρ περισσεύσῃ ἡ κακία εἰς τοὺς ἀνθρώπους, κακῆς οὔσης τῆς τῶν ἀνθρώπων καταστάσεως ἐξ ἀνάγκης τότε ἀκόλουθον εἶναι καὶ σκάνδαλα νὰ προέρχωνται, καὶ φθοροποιὰ κακουργήματα, καὶ τῇ συνεργείᾳ τοῦ πονηροῦ μισοκάλου ἐχθροῦ—(ἕπεται μακρὸς λόγος περὶ τῆς ἀγάπης)—(272) ἐπειδὴ τοιγαροῦν καὶ κατὰ τοὺς νῦν καιροὺς τῆς δυστυχίας καὶ δουλικῆς καταστάσεως, κρίμασιν, οἷς οἶδε Κύριος, ἐπιγενομένης ἡμῖν, ὁποῦ ἔπρεπε μάλιστα, νὰ συμπροθυμοῦμεν ὅλοι κοινῶς καὶ νὰ συμπολιτευώμεθα χριστιανικῶς καὶ θεαρέστως μετ᾽ εὐταξίας, πρὸς σύστασιν ἡμετέραν καὶ συντήρησιν, καὶ νὰ συνυπερμαχοῦμεν ὁλοψύχως διὰ τὴν ἐκκλησιαστικὴν εὐταξίαν καὶ ἐπωφελῆ κατάστασιν τῆς τε καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τῶν λοιπῶν πατριαρχικῶν θρόνων καὶ τῶν ἁπανταχοῦ ἐπαρχιῶν καὶ ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, οἱ ὁποῖοι θρόνοι, ἐπαρχίαι τε καὶ ἐκκλησίαι, πατριάρχαι καὶ ἀρχιερεῖς καὶ τὸ λοιπὸν ἱερατικὸν σύστημα, εἰς τὸν καιρὸν τοῦτον τῆς κοινῆς δυστυχίας, μετὰ Θεὸν ἀλλοθέν ποθεν δὲν ἔχουσι τὴν κυβέρνησίν τους, εἰ μὴ μόνον ἀπὸ τὴν συνδρομὴν καὶ βοήθειαν φιλευσεβῶν χριστιανῶν καὶ διὰ τῆς καλῆς αὐτῶν (273) συνδρομῆς καὶ βοηθείας σώζονται σὺν Θεῷ καὶ διατηροῦνται οἱ αὐτοὶ πατριαρχικοὶ θρόνοι, ἐπαρχίαι τε καὶ ἐκκλησίαι, καὶ δοξάζεται ὁ θεὸς καὶ ἡ χριστιανωσύνη· καὶ διὰ τοῦτο, ὡς προείπομεν, μετὰ πάσης προθυμίας, πρέπει ὅλοι κοινῶς νὰ συμπράττωμεν καὶ νὰ συμπονοῦμεν καὶ νὰ συνεργοῦμεν μὲ μίαν σύμπνοιαν καὶ ὁμόνοιαν εἰς τὰ καλὰ καὶ θεάρεστα ἔργα ἁπαξάπαντες, ἱερωμένοι καὶ λαϊκοί, ἄρχοντές τε καὶ ἀρχόμενοι· μικροί τε καὶ μεγάλοι. ἐπειδὴ καὶ εἰς τὸν κόσμον ἡ κακία δὲν λείπει, πολλοὶ δέ τινες, εἴτε ἐξ ἐπηρείας τοῦ μισοκάλου ἐχθροῦ ὑποσκελιζόμενοι εἴτε ὑπὸ ἰδίας κακοτροπίας καὶ κακοβουλίας ἐκτραχηλιζόμενοι ὡς ἀνευλαβεῖς καὶ χαιρέκακοι, οὐ μόνον ἐκ τοῦ ἀρχιερατικοῦ καὶ ἱερατικοῦ τάγματος, διὰ πρόσκαιρον τυχὸν αἰσχροκέρδειαν καὶ κοσμικὴν φαντασίαν καὶ ματαιότητα, ἢ καὶ ἐμπαθῆ φιλοπροσωπίαν, γίνονται ἐπίβουλοι καὶ ἐπιβλαβεῖς καὶ ἐπιζήμιοι τῆς χριστιανικῆς ὁμηγύρεως, καὶ κατατρύχουσι τήν τε ἁγίαν τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν, καὶ τοὺς λοιποὺς πατριαρχικοὺς θρόνους, ἐπαρχίας τε καὶ ἀρχιερεῖς, καὶ κατὰ τρόπον ἀλλότριον σπεύδουσιν οἱ ἀνάξιοι, καὶ μηδενὸς λόγου ἄξιοι ἁρπάσαι δυσεβῶς καὶ παρα-

νενοημένως καὶ παρανόμως, καὶ ἔξω πάσης ὀρθῆς διακρίσεως, πατριαρχικὴν προστασίαν, ἢ ἐξαρχίαν ἀρχιερέως, ἀνευθύνου τε καὶ ἀνεγκλήτου, ὅπου γε (274) ἡ κραταιὰ βασιλεία καὶ οἱ ἐκλαμπρότατοι καὶ περιφανέστατοι καὶ πολυχρονημένοι ἐξουσιασταὶ καὶ αὐθένται ἡμῶν καὶ μεγιστάνες τῆς αὐτῆς κραταιᾶς βασιλείας δείχνουσιν εὐσπλαγχνίαν εἰς ἡμᾶς τοὺς δούλους των δικαιοπραγοῦντες· αὐτοὶ δὲ οἱ ἀνευλαβεῖς καὶ χαιρέκακοι ἐπινοοῦσι τρόπους ἀπατηλοὺς μεθ' ὑπουλότητος καὶ ψευδοῦς ὑποκρίσεως καὶ προβάλλουσι δικαιολογίας δῆθέν τινας ψευδεῖς καὶ ἀνυποστάτους, διὰ μέσου τῶν ὁποίων ψευδολογιῶν πείθουσι καὶ μεταβάλλουσι πολλάκις τὴν γνώμην τῶν ἐξουσιαστῶν καὶ τοὺς κάμνουν ἐπικλινεῖς εἰς τὰ παρ' αὐτῶν προβαλλόμενα κἀντεῦθεν, ἂν καὶ δὲν ἐπιτύχουν τὸν κακόν τους σκοπόν, ἐπακολουθεῖ ὅμως βλάβη μεγάλη καὶ ζημία πολυέξοδος εἴς τε τὴν καθ' ἡμᾶς ἁγίαν τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν, καὶ εἰς τοὺς λοιποὺς πατριαρχικοὺς θρόνους καὶ τὰς ἁπανταχοῦ ἐπαρχίας, πατριάρχας τε καὶ ἀρχιερεῖς, ἀτιμία τε καὶ κατηγορία εἰς τὴν ἀρχιερατικὴν καὶ ἱερατικὴν ἀξίαν παρὰ τῶν μὴ εἰδότων καὶ μὴ γινωσκόντων τὴν κακοτροπίαν καὶ κακοβουλίαν καὶ κακεντρέχειαν τῶν τοιούτων σκανδαλοποιῶν, καὶ διὰ τοῦτο κατακρινόντων ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ τοὺς ἀναιτίους καὶ μηδαμῶς πταίοντας· διὰ νὰ παύσῃ λοιπὸν καὶ ἀποκρουσθῇ ἐκ μέσου ἡ κακεντρέχεια τῶν τοιούτων κακοβούλων καὶ νὰ μὴν ἐπακολουθήσῃ ἡ εἰρημένη ἀπευκταία συμφορά, (275) τούτου χάριν κατὰ τὴν κοινὴν εὐλογοφανῆ συγκατάθεσιν καὶ ἐπίκρισιν συνελθόντες ἐν τούτῳ ἁπαξάπαντες οἱ ἐν Κων/πόλει ἐνδημοῦντες πατριάρχαι καὶ ἀρχιερεῖς συμπαρόντων καὶ τῶν κληρικῶν ἱερωμένων καὶ λαϊκῶν καὶ ἀρχόντων τῆς πολιτείας καὶ προκρίτων τῶν χριστιανικῶν ρουφετίων καὶ πραγματευτῶν γράφομεν καὶ ἀποφαινόμεθα γνώμῃ κοινῇ συνοδικῇ ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπάρχῃ σύμπνοια.... καὶ ὁμόνοια καὶ τὸ κοινὸν ὄνειδος καὶ ἡ καταφρόνησις.... καὶ ἐκρίθη ἁρμόδιον καὶ ἐγνωμοδοτήθη τοῦ παναγίου πνεύματος, νὰ συγκροτηθῇ σύνοδος ὑπερτελὴς ἁγιωτάτων πατριαρχῶν, ἱερωτάτων μητροπολιτῶν τιμιωτάτων κληρικῶν εὐγενεστάτων ἀρχόντων τῆς πολιτείας, χρησίμων προεστώτων τῶν ρουφετίων καὶ πραγματευτῶν τοῦ χριστεπωνύμου πληρώματος

μήτε πατριάρχην ἄλλῳ πατριάρχῃ ἤ τινι τῶν ἀρχιερέων καὶ κληρικῶν ἀρχόντων τε τῆς πολιτείας καὶ λοιπῶν χριστιανῶν· μήτε ἀρχιερέα ἢ κληρικὸν ἢ ἄρχοντα τῆς πολιτείας, ἢ ἕτερόν τινα τῆς κοσμικῆς τῶν λαϊκῶν τάξεως ποιῆσαι ἐπιβουλὴν καὶ καταδρομὴν κατά τινος τῶν πατριαρχῶν ἢ τῶν (276) κληρικῶν καὶ ἀρχόντων καὶ λοιπῶν χριστιανῶν, ἢ καὶ κατ' ἀλλήλων, ἀλλὰ φυλάττηται παρὰ πᾶσιν ἁπαξαπλῶς ἡ κατὰ θεὸν ἀδελφικὴ ἀγάπη καὶ εἰρήνη καὶ ὁμόνοια καὶ ὁμοφροσύνη καὶ ὁ χριστιανικὸς σύνδεσμος, εἰς δόξαν θεοῦ καὶ κυβέρνησιν τῆς ἐκκλησιαστικῆς εὐταξίας καὶ παντὸς τοῦ χριστεπωνύμου πληρώματος. Τούτων οὖν οὕτω γνωμοδοτηθέντων καὶ

ἀποφανθέντων συνοδικῶς, ὑποσχόμεθα ἁπαξάπαντες οἱ συνελθόντες ἐν τῇ τοιαύτῃ ὑπερτελεῖ συνόδῳ φυλάξαι, θεοῦ συνεργοῦντος, ἐν βάρει ἱεροῦ ὅρκου καὶ ἐπιτιμίων φρικτῶν, τὴν ἣν ὑπεσχέθημεν σύμπνοιαν, ἀδελφικήν τε πρὸς ἀλλήλους ἐν Χριστῷ ὁμόνοιαν, εἰρήνην τε καὶ ἀταραξίαν καὶ τὸν κοινὸν τοῦτον ψυχωφελῆ σύνδεσμον τῆς ὁμονοίας, πρὸς ὑπεράσπισιν καὶ συνδρομὴν καὶ βοήθειαν τὴν ὑπὲρ ἀλλήλων, ἐν ᾧ καὶ ὁ ὑπεράγαθος καὶ τῶν ἀγαθῶν χορηγὸς θεὸς χαίρει καὶ ἀναπαύεται, καταργεῖται καὶ διαρρήγνυται ὁ ἐπίβουλος τοῦ ἀθρωπίνου γένους παμπόνηρος καὶ μισόκαλος διάβολος (ἕπονται καὶ φρικταὶ ἀραὶ) . ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν πάντων τῶν ἐν τῷ παρόντι γεγραμμένων ἐγένετο καὶ ὁ παρὼν συνοδικὸς τόμος, καταστρωθεὶς καὶ ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ͵αωιη΄.

Γβ 6 (Φωτίου-Κυπρίου Β΄ σελ. 57)

Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ κοινοῦ καὶ συμφωνητικοῦ γράμματος γίνεται δῆλον, ὅτι ἐπειδὴ ἐν τοῖς παροῦσι καιροῖς κρίμασιν οἷς μόνος οἶδε Θεὸς νὰ ἐσυνέβησαν καὶ νὰ ἐπῆλθον πολλὰ καὶ δεινὰ καὶ ἀθρόα καὶ ἀλλεπάλληλα δυστυχήματα τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ὡς οὐδέποτε ἄλλοτε, καὶ νὰ εὑρισκώμεθα κοινῶς ἅπαντες ὑπὸ βάρη καὶ χρέη καὶ ἀπαιτήσεις ὑπερμέτρους καὶ ἔξω τῆς ἡμετέρας δυνάμεως, τόσον διὰ τὰ προϋπάρχοντα χρέη τοῦ κοινοῦ, τοσαύτης ὄντα πολυαρίθμου ποσότητος ὁποῦ μόλις καὶ μετὰ πολλῶν κόπων καὶ δυσχερείας μεγάλης δυνάμεθα κυβερνᾶσθαι, τόσον διὰ τὰ προσεχῶς γεγονότα καὶ ἐπιφορτισθέντα ἰδίως τῇ ἡμῶν μετριότητι διὰ τὴν ἐκκλησίαν τῆς ὑπεραγίας θεοτόκου - τοῦ Ἐγρὶ-καπού, πρόσθες καὶ τρίτον τὴν ἐπισυμβᾶσαν χαλεπωτάτην ζημίαν ἐκ τῆς ***προσεχῶς*** γενομένης φθοροποιοῦ καὶ ***ὀλεθρίου πυρκαϊᾶς***, ἡ ὁποία οὐ μόνον τοσοῦτον πλῆθος εὐσεβῶν χριστιανῶν παντελῶς ἐξηφάνισε καὶ εἰς ἐσχάτην δυστυχίαν κατήνεγκεν, ἀλλὰ καὶ τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας τὰ μέγιστα ἐζημίωσε διὰ τῆς ἀποτεφρώσεως τῶν τοσούτων ἁγίων ἐκκλησιῶν καὶ τῆς στερήσεως τῶν ἐτησίων εἰσοδημάτων αὐτῶν· καὶ ἐπὶ πᾶσι τούτοις ἰδόντες καὶ ἐπιγνωκότες ἡμᾶς αὐτοὺς ἐπὶ ξυροῦ ἀκμῆς ὡς τὸ τοῦ λόγου εὑρισκομένους καὶ ἐσχάτως κινδυνεύοντας καὶ εἰς παντελῆ ἀκυβερνησίαν καὶ ἀδιόρθωτον κατάστασιν φθάσαντας τόσον διὰ τὸ κορυφωθὲν καὶ ἐπαυξηθὲν ταῖς προσθήκαις ἄμετρον χρέος, καὶ διὰ τὰς καθ' ἡμέραν δεινὰς καὶ συνεχεῖς καὶ ἀπροόπτους ἀπαιτήσεις καὶ ζημίας τοῦτο δὲ καὶ διὰ τὴν ἐλάττωσιν καὶ ὀλιγόστευσιν καὶ στέρησιν τῶν εἰσοδημάτων τῶν τε κυρίων καὶ τῶν τυχηρῶν καὶ ἐμπιπτόντων· καὶ ὅτι ἀνάγκαι μὲν πανταχοῦ πόρος δὲ οὐδαμοῦ φαινόμενος ἢ ἐλπιζόμενος, ἐξαπορηθέντες καὶ εἰς ἀμηχανίαν

ἐλθόντες, καὶ εἰς αὐτὰ τὰ καίρια πάσχοντες δεῖν ἔγνωμεν κοινῇ βουλῇ καὶ γνώμῃ μὴ ἄλλως δυνηθῆναι οἰκονομῆσαι τὰ καθ' ἡμᾶς, εἰ μὴ συμπνοίᾳ καὶ ὁμονοίᾳ καὶ ὁμοψυχίᾳ ἀδελφικῇ καὶ ἑνώσει ἀδιαρρήκτῳ συνδεθέντας καὶ συναρμοσθέντας ἀλλήλοις καὶ οἱῳδήτινι συνασπισμῷ ἡμᾶς αὐτοὺς περιφράξαντας καὶ ἀποτειχίσαντας, ἀδελφὸς γὰρ ὑπ' ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ κατὰ τὸ εἰρημένον, καὶ δὴ συνελθόντες εἰς ἕν ὁμοθυμαδὸν καὶ τὴν ἐξ ὕψους ἐπικαλεσάμενοι θείαν βοήθειαν καὶ τὴν ἄμαχον καὶ κραταιὰν χεῖρα τοῦ φιλαγάθου θεοῦ εἰς ἀντίληψιν ἡμετέραν προβαλόμενοι τῇ ἐπικλήσει τοῦ παναγίου πνεύματος πρῶτον μὲν ἡ μετριότης ἡμῶν ὑπόσχεται ἐπὶ θεῷ μάρτυρι καὶ ἐν βάρει ἀλύτων ἐπιτιμίων νὰ ὑπερασπίζεται καὶ νὰ ὑπεραγωνίζεται καὶ νὰ ἀπαντᾷ μὲ τὸν κίνδυνον καὶ αὐτῆς τῆς ζωῆς της διὰ τὴν σύστασιν καὶ ὠφέλειαν καὶ βοήθειαν τοῦ κοινοῦ εἰς πᾶσαν αὐτοῦ χρείαν καὶ ἀνάγκην καὶ εἰς ἀποφυγὴν πάσης ἐπερχομένης ἀπαντήσεως καὶ ζημίας, μάλιστα δὲ πάντων ἀγωνισθῆναι εἰς ἀπάντησιν τοῦ ἀπαιτουμένου μουκαρερίου, διὰ τὸ ὁποῖον κατὰ χρέος ἀπαραίτητον ὑπόσχεται νὰ προστρέξῃ καὶ νὰ προσπέσῃ μετὰ θερμῶν δεήσεων εἰς τὰ σπλάγχνα τῶν ἐξουσιαστῶν καὶ αὐθεντῶν ἡμῶν καὶ νὰ φανερώσωσιν εἰς αὐτοὺς τὴν πολλὴν καὶ μεγάλην ἀδυναμίαν μας καὶ τὴν παντελῆ ἀκυβερνησίαν μας καὶ νὰ πασχήσῃ (sic) μὲ κάθε λογῆς τρόπον νὰ ἀπαντηθῇ καὶ νὰ συκωθῇ (sic) ἡ ἀπαίτησις τοῦ μουκαρερίου· ἔτι δὲ καὶ τῶν συναδελφῶν αὐτῆς ἀρχιερέων παρόντων τε καὶ ἀπόντων, καὶ διὰ τὴν ὠφέλειαν τοῦ κοινοῦ, καὶ τὴν σύστασιν τῶν ἀδελφῶν, εἰ δεήσει καὶ προκινδυνεῦσαί με καὶ φέρειν καὶ δέχεσθαι εὐγνωμόνως καὶ ἔκπτωσιν ἀπὸ τοῦ οἰκουμενικοῦ θρόνου, καὶ φυλακὴν καὶ φυγὴν ὑπερόριον καὶ πᾶσαν ἄλλην ζημίαν καὶ κακοπάθειαν ὑπὲρ τῆς κοινῆς ὠφελείας ἀγωνιζόμενον, καὶ μηδόλως μικροψυχεῖν, μήτε τοὺς κινδύνους ἀναδύεσθαι, μήτε χωρὶς τῆς βουλῆς καὶ γνώμης τῶν συναδελφῶν ἀρχιερέων πράττειν τι τὸ σύνολον· δεύτερον δὲ καὶ ἡμεῖς οἱ ἐν τῷ παρόντι ὑπογεγραμμένοι συναδελφοὶ ὑποσχόμεθα ἐπὶ θεῷ μάρτυρι καὶ ἐν βάρει ἀλύτων ἐπιτιμίων μιᾷ βουλῇ καὶ ψυχῇ καὶ ὁμοφώνῳ γνώμῃ συνηνῶσθαι καὶ συμπεφυκέναι στερρῶς καὶ ἰσχυρῶς καὶ ἀδιασπάστως πρός τε ἀλλήλους καὶ μετὰ τῆς αὐτοῦ παναγιότητος ἐν παντὶ καιρῷ καὶ πίστιν φυλάττειν καθαρὰν καὶ εἰλικρινῆ καὶ πάντῃ ἀνεπιβούλευτον, καὶ μήτε διχονοεῖν ποτὲ μήτε διαφέρεσθαι, ἀλλὰ καὶ εἴ ποτέ τι τυχὸν συμβαίνει τῇ αὐτοῦ παναγιότητι διὰ τὴν ὑπὲρ τοῦ κοινοῦ ἔνστασιν καὶ τὸν ἀγῶνα βλάβη τις καὶ ζημία καὶ ἔκπτωσις ἀπὸ τοῦ θρόνου ὁμολογοῦμεν καὶ ὑποσχόμεθα μήτε τινα ἐξ ἡμῶν δέχεσθαι ὁλοτελῶς τὴν πατριαρχείαν, ἀλλὰ καὶ βιαζόμενοι τυχὸν καὶ κινδυνεύοντες ἀποποιεῖσθαι καὶ ἀποβάλλειν ταύτην σθένει παντὶ καὶ στέργειν τὴν ἐκ τῆς ἀποκρούσεως ταύτης ἑπομένην ζημίαν· οὔτε εἰ συμβαίη ἐπιπηδῆσαι καὶ προχωρῆσαι ἢ τὸν ἐξόριστον Ἱερεμίαν ἢ ἄλλον τινα ὁθενδήποτε ἐμβατεύσαντα καὶ ἐξ ὁποια-

σδήποτοῦν στάσεως καὶ τάξεως ἐπελθόντα μηδόλως στέργειν καὶ δέχεσθαι τὸν τοιοῦτον ἢ συγκοινωνεῖν καὶ συνακολουθεῖν αὐτῷ, ἀλλ' ἀποστρέφεσθαι καὶ ἀποφεύγειν μακρὰν καὶ παντὶ τρόπῳ σπεύδειν περὶ τῆς ἐξώσεως αὐτοῦ καὶ μόνην τὴν αὐτοῦ παναγιότητα γνωρίζειν καὶ ἔχειν προεστῶτα καὶ πατριάρχην ἐν παντὶ καιρῷ καὶ ἐπαγωγῇ πάσης καιρικῆς περιστάσεως καὶ ὑπὲρ τῆς συστάσεως ἢ καὶ ἀποκαταστάσεως αὐτοῦ ἀγωνίζεσθαι καὶ σπεύδειν καὶ διακινδυνεύειν μέχρι καὶ αὐτῆς τῆς ζωῆς, ἐπὶ συνθήκῃ μέντοι καὶ συμφωνίᾳ τοῦ μήτε τὴν αὐτοῦ παναγιότητα ὑπομένειν τὴν ἐπακολουθήσασαν αὐτῇ ζημίαν καὶ βλάβην διὰ τὴν ὑπὲρ τοῦ κοινοῦ ἔνστασιν καὶ τὸν ἀγῶνα, μήτε τινὰ ἐκ τῆς ἡμῶν ἀδελφότητος διὰ τὴν ὑπὲρ τῆς αὐτοῦ παναγιότητος σύστασιν καὶ βοήθειαν καὶ ὑπεράσπισιν μένειν ἐζημιωμένον, ἀλλὰ τὴν ζημίαν ταύτην τὴν εἴτε τῇ αὐτοῦ παναγιότητι εἴτέ τινι τῶν ἀδελφῶν ἡμῶν μέλλουσαν ἐπιγενέσθαι ἀπολογεῖσθαι καὶ θεραπεύειν τὸ κοινὸν τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ μένειν ἀμφότερα τὰ μέρη ἀζήμια καὶ ἀνενόχλητα καὶ ἀνεπηρέαστα μέχρι τέλους διὰ τὴν ἐπιγενησομένην ἐκ τῆς αἰτίας ταύτης ζημίαν. Οὕτω συνεθέμεθα καὶ ὡμολογήσαμεν κοινῶς ἥ τε ἐμὴ μετριότης ἥ τε τῶν συναδελφῶν ἀρχιερέων ὁμήγυρις καὶ μετὰ πάσης ἀσφαλείας καὶ ἀκριβείας ἀλλήλους ἐπεστήσαμεν καὶ ἐβεβαιώσαμεν ἐνόρκως καὶ ἐνομότως προκειμένων τῶν ἱερῶν εὐαγγελίων τοῦ μένειν ἀμεταθέτως καὶ ἀμετακινήτως ἐν πᾶσι τοῖς προρρηθεῖσι καὶ γραφεῖσιν ἐν τῷ παρόντι κατασφαλίσαντες καὶ ἐμπεδώσαντες τὴν ἔνορκον ἡμῶν ταύτην (59) πίστιν τε καὶ ὑπόσχεσιν καὶ ταῖς ἰδίαις ἡμῶν ὑπογραφαῖς καὶ σφραγῖσι καταστήσαντες αὐθαιρέτως ἡμᾶς αὐτοὺς ὑπευθύνους ταῖς ἐσχάταις ἐκκλησιαστικαῖς ποιναῖς, καὶ αὐτοκαθαιρέτους ποιήσαντες, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑποδίκους ἀποφήναντες, ὅστις τολμήσει ἐξ ἡμῶν τῶν ὑπογεγραμμένων ἐν τῷ παρόντι παραβῆναί τι τῶν συμφωνηθέντων.

. . . . . μηδεμίαν μηδέποτε ἐπιβουλὴν καὶ ἐπήρειαν κατά τινος τῶν ἁγίων ἀρχιερέων παρόντων τε καὶ ἀπόντων, καὶ πάντων ἁπλῶς τῶν ὑποκειμένων τῷ ἡμετέρῳ πατριαρχικῷ οἰκουμενικῷ θρόνῳ, τολμῆσαι διενεργῆσαι, ἢ ὅλως διανοηθῆναι καὶ βουλεύσασθαι, οὔτε μὴν τολμῆσαι πώποτε δοῦναι ἄρζιον καθ' οἱονδήποτε τρόπον ἐξώσεως ἢ ἐξορίας κατά τινος τῶν ἀρχιερέων ἄνευ γνώμης καὶ εἰδήσεως καὶ συναινέσεως ἁπάντων τῶν συνεδριαζόντων καὶ ἐνδημούντων ἐν Κωνσταντινουπόλει ἀρχιερέων ὥστε μηδένα αὐτῶν ἀπολείπεσθαι τῆς συνελεύσεως καὶ κοινῆς περὶ τοῦ ἀρζίου συναινέσεως· ἄλλως τε ἥν ποτε φωραθῶ δοὺς ἄρζιον τινὸς τῶν ἀρχιερέων καθ' οἱονδήποτε τρόπον ὡς εἴρηται χωρὶς εἰδήσεως αὐτῶν μένειν μὲν ἀποκριματίστως ὑπεύθυνον τῇ ἐκκλησιαστικῇ παιδείᾳ καὶ εἶναί με πάντως αὐτοκαθαίρετον κατὰ τοὺς ἐκκλησιαστικοὺς νόμους ὡς ἐπίορκον γενόμενον, καὶ ἔκπτωτον πάντως τοῦ ἀρχιερατικοῦ ἀξιώματος

. . . ὅθεν ἐν ἔνδειξιν καὶ βεβαίαν παράστασιν τῆς τοιαύτης

ἐνωμότου καὶ ἐνόρκου ὑποσχέσεως ἐγένετο τὸ παρὸν ἐπὶ μαρτυρίᾳ ἁγιωτάτων πατριαρχῶν, αὐθεντικῶν καὶ ἀξιωματικῶν προσώπων κληρικῶν τε καὶ ἀρχόντων τῆς πολιτείας κατασφαλισθὲν καὶ τῇ ἰδίᾳ μου ὑπογραφῇ καὶ σφραγῖδι καὶ ἐπεδόθη τοῖς ἁγίοις ἀρχιερεῦσιν εἰς διηνεκῆ καὶ ἀμετάθετον ἀσφάλειαν.

Γ β 7 (Κώδιξ Κριτίου Β΄, σελ. 65)

Ἔνορκος συνθήκη ἐπὶ εἰρήνῃ πατριάρχου μετὰ ἀρχιερέων (ἐκ μέρους τοῦ π/χου δοθέντος τοῖς ἀρχιερεῦσι)

Τὰ φυλακῆς καὶ συντηρήσεως ἀκριβοῦς δεόμενα, προνοίᾳ ἔμφρονι ὅροις ἀσφαλεστάτοις καὶ ἕρκοις ἐρυμνοῖς περιφράττονται ὡσὰν ἀνεπιβούλευτα εἴη, καὶ πάσης ἐφόδου ὑπέρτερα. Καὶ πόλεις μὲν ἐρύμασιν ἀσφαλέσιν περιελαύνονται, ὅπως τὸ οἰκούμενον ἀνεπιβούλευτον ὑπὸ χειρὸς πολεμίας διασώσωσιν· ἄμπελοι δὲ καὶ παράδεισοι θριγγοὺς καὶ αἱμασιὰς περιβάλλεσθαι, ὅπως τοὺς σφῶν καρποὺς ἀνεπάφους καὶ ἀλυμάντους φυλάξωσιν· ἐπὶ δὲ τῶν ἀνθρωπίνων πράξεων τῷ αὐτεξουσίῳ τὴν προαίρεσιν ἀμφιρρεπῆ κεκτημένῳ, καὶ εὐκόλως μεταβάλλεσθαι δυναμένων διὰ τὸ ἀδρανὲς τῆς ἀνθρωπίνης φύσεως ὅταν συνθῆκαι καὶ ὑποσχέσεις συμφωνίαι τε καὶ ὁμολογίαι περί τινος ἀναγκαίας ὑποθέσεως γίνωνται, ὁ ὅρκος καὶ οἱ τῆς ἐκκλησίας φοβεροὶ δεσμοὶ ὑπὸ εὐσεβοῦς καὶ φόβον θεοῦ γνωριζούσης ψυχῆς γινόμενα, τὸ ἀσφαλὲς παρέχονται καὶ ἐχέγγυον καὶ τεῖχος οἱονεὶ ἀσφαλέστατον καὶ ἀκαταμάχητον ἀναδείκνυνται· ταῦτα τοι καὶ χρείας κατεπειγούσης εἰς διόρθωσιν μεγάλων ὑποθέσεων, συνθηκῶν τε καὶ ὁμολογιῶν, ὧν ὅσον περ ἡ τήρησις καὶ φυλακὴ τὰ μέγιστα συντελεῖ, τοσοῦτον ἡ παράβασις καὶ ἁμαρτία οὐ τὸν τυχόντα ἐπάγεται κίνδυνον. Ὁ ὅρκος μεσολαβῶν οἷόν τις δεσμὸς ἀδιάρρηκτος γίνεται μόνιμόν τε καὶ βεβαίαν τῶν συμφωνουμένων τὴν φυλακὴν ἀπεργάζεται. Ἐπειδὴ τοιγαροῦν καὶ τῇ τοῦ νῦν αἰῶνος φορᾷ ἡ καθ' ἡμᾶς ἁγία τοῦ Χριστοῦ ἐκκλησία ὑπὸ βάρος τελεῖ σχεδὸν ἀφόρητον χρεῶν τε καὶ δοσιμάτων ἀλλεπαλλήλων ἐπενεχθέντων καὶ ἐπισωρευθέντων αὐτῇ ὧν ἡ κυβέρνησις δυσμεταχείριστος ἐγένετο, ἅτε δὴ τῆς ἱερᾶς καὶ ἐκκλησιαστικῆς ὁλκάδος ἤδη ἐν μετεώρῳ φερομένης καὶ ἀντιπνοίᾳ ἀνέμων προσπαλαιούσης δεινῇ κυμάτων τε ἐπιδρομῇ συνεχεῖ ἀντέχειν βιαζομένης, τῇ τῶν χρεῶν δηλαδὴ ἀμετρίᾳ καὶ ταῖς βιαίοις καὶ δυσαντιβλέπτοις τῶν ἀπαιτούντων ὁρμαῖς, ὥστε τὸν οἰακοστροφεῖν ταχθέντα ἐν ἀπογνώσει ἐλθεῖν κινδυνεύειν τοῦ διασῶσαι αὐτὴν καὶ διεκφυγεῖν τὸ ναυάγιον ὠδινόμενον ὅσονούπω χρήζοντά τε ἀναγκαίως τῆς ἀδελφικῆς τῶν ἁγίων ἀρχιερέων συναντιλήψεως καὶ συμμαχίας καὶ ὡς οὕτως εἰπεῖν ἐπὶ μιᾶς ταύτης καὶ μόνης τῆς ἱερᾶς ἀγκύρας σαλεύειν τὰ τῆς ἐκκλησίας τῆς ἐκ συμφώνου καὶ ὁμονοίας συμπράξεως καὶ συνεργίας τῆς ἱερᾶς ὁμηγύρεως, ἧς μὴ γενομένης ὅσον οἷά τε ἀσφαλεστάτης καὶ βεβαίας καὶ ἀνυπό-

πτου ἀδύνατον εἶναι καὶ τὴν σπουδαζομένην ὑφ' ἡμῶν σωτηρίαν καὶ κυβέρνησιν τῆς ἁγίας ταύτης ἐκκλησίας εἰς πέρας ἐλθεῖν ἀγαθὸν καὶ δεξιὸν καὶ ἑπομένως καταστρωθῆναι καὶ γαληνιάσαι τοὺς ἐπικειμένους ἡμῖν κλύδωνας, ἧς ἕνεκα κυβερνήσεως ἐκκλησιαστικῆς ἀγάπης τε καὶ ὁμονοίας ἐγένετο προλαβόντως καὶ συνοδικὸς τῆς ἑνώσεως τόμος ὅν τινα ἐπὶ τῷ φυλαχθῆναι βεβαίως καὶ τὸ κῦρος ἔχειν τοῦ λοιποῦ ἀμετάθετον ἤδη σκοπὸν καλὸν καὶ θεάρεστον θεμένοις ἡμῖν ὡσὰν τὰ τῆς ἀγάπης ἡμῶν ᾖ τέλεια καὶ κατηρτισμένα ἀναγκαίως ἐδέησεν ἐπιβεβαιώσασθαι αὐτὸν ὅρκῳ φοβερ^ω καὶ ἐπιτιμίοις φρικτοῖς καὶ βάρει δεσμῶν ἐκκλησιαστικῶν ἐνώπιον θεοῦ τοῦ τὰ πάντα ἐφορῶντος καρδίας τε καὶ νεφροὺς ἐμβατεύοντος καὶ τῷ τρόπῳ τούτῳ ἀνύποπτον ὁλετελῶς καταστήσαντας τῶν ἁγίων ἀρχιερέων τὴν ἀδελφότητα μηδὲν ἀντίξοον καὶ λυπηρὸν καραδοκοῦσαν, ἀφόβως τε καὶ ἀμερίμνως διάγουσαν—ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον κατὰ τὸ ἀποστολικὸν λόγιον τῆς ἀμοιβαίας παρ' αὐτῶν καὶ προθύμου ἀπολαμβάνειν ἐν ταῖς χρείαις καὶ ἀνάγκαις συμβοηθείας καὶ συνδρομῆς. Τούτου χάριν ἡ μετριότης ἡ ἐμὴ διαβεβαιουμένη τὰ μεταξὺ αὐτῆς τε καὶ τῆς ἱερᾶς ὁμηγύρεως συντεθέντα καὶ συμφωνηθέντα, τουτέστι τά τε προβληθέντα καὶ ζητηθέντα παρὰ τῶν ἀδελφῶν ἀρχιερέων ὡρισμένα τινα κεφάλαια καὶ ζητήματα ἀποδεχθῆναι εὐμενῶς καὶ ἰδίᾳ ὑπογραφῇ κατασφαλίσαι καὶ ὀχυρῶσαι ἐπὶ τῷ φυλάττειν αὐτὰ ἐσαεὶ ἀμετάθετα καὶ ἀπαράβατα. Ἔτι δὲ παρὰ ταῦτα ὑποσχεθεῖσα αὐτοῖς, τὸ παρ' ἡμῶν ἀνεπηρέαστον, ἀνεπιβούλευτόν τε καὶ ὅλως ἀνύποπτον ἐν παντὶ καιρῷ διόμνυμαι εἰς αὐτὸν τὸν ἄναρχον θεὸν καὶ πατέρα καὶ τὸν συνάναρχον καὶ μονογενῆ αὐτοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὸ ὁμοούσιον καὶ πανάγιον πνεῦμα, εἰς τὴν μακαρίαν δηλονότι καὶ ἁγίαν τριάδα, ἔτι δὲ καὶ εἰς τὴν ὑπέραγνον αὐτοῦ μητέρα καὶ ἀειπαρθένον θεοτόκον Μαρίαν.

Γβ 8 (Κώδιξ Φωτίου-Κυπρίου Β', σελ. 65)

Ἕνωσις κοινὴ πατριάρχου ἀρχιερέων καὶ ρουφετίων ἐπὶ δεφενδεύσει τοῦ πατριάρχου καὶ τῆς ἐκκλησίας (προηγεῖται προοίμιον ἔπειτα προστίθεται) τὶς δὲ ὁ λόγος τοῦ παρόντος προοιμίου τώρα θέλομεν φανερώση· φαίνεται λοιπόν, ὅτι ἡ ἁγία τοῦ Χριστοῦ αὕτη καὶ μεγάλη ἐκκλησία ἡ κοινὴ μήτηρ πασῶν τῶν ἐκκλησιῶν νὰ ἐκατήντησε καὶ νὰ περιέπεσεν εἰς πολλὰ δυστυχισμένην καὶ στενοχωρημένην κατάστασιν ἀπὸ τὰς προηγησαμένας εἰς αὐτὴν ἀλλεπαλλήλους καταδρομὰς καὶ συνεχεῖς ζημίας ἐκ συνεργασίας τοῦ μισοκάλου και φθονεροῦ δαίμονος, ὁ ὁποῖος δὲν παύει ἀπὸ τὸ νὰ ἐξευρίσκῃ (λόγοι περὶ τῶν ὀργάνων τοῦ Σατανᾶ). . . . καὶ οὔτε εἰς τὴν ἐκκλησίαν ἔμεινε πλέον καμμία δύναμις χρηματικὴ εἰς τὸ νὰ ἀπαντᾶ τὰς τοιαύτας καταδρομὰς διὰ τὴν ἀμετρίαν τῶν ἐπιφορτισθέντων αὐτῇ χρεῶν, οὔτε οἱ χριστιανοὶ δύνανται νὰ ὑποφέρουν τοσοῦτον κοινὸν ὄνειδος καὶ

ἀτιμίαν.... Ὅθεν μὴ ὑποφέροντες πλέον οἱ τοῦ ἡμετέρου γένους εὐσεβεῖς καὶ ὀρθόδοξοι χριστιανοὶ νὰ παραβλέπωσι τοῦ λοιποῦ τὸ τοιοῦτον κοινὸν κακὸν ἀδιόρθωτον καὶ τὴν τοῦ Χριστοῦ ἐκκλησίαν ἀδίκως κατατρεχομένην καὶ τὸ ἡμέτερον Γένος καταφρονούμενον, ζῆλον ἔνθεον ἀναλαβόντες καὶ ὑπὸ εὐλαβείας καὶ ἀγάπης κεκινημένοι συνῆλθον εἰς ἕν ὁμοθυμαδὸν ἅπαντες εἰς τὸν παναγιώτατον καὶ σεβασμιώτατον ἡμῶν αὐθέντην καὶ δεσπότην τὸν οἰκουμενικὸν πατριάρχην κὺρ κὺρ Νεόφυτον, καὶ συνόδου ὑπερτελοῦς συγκροτηθείσης, συνεδριαζόντων τῇ αὐτοῦ Παναγιότητι ἁπαξαπάντων τῶν συμπαρευρεθέντων καὶ ἐνδημούντων ἤδη ἐνταῦθα ἐν τῇ βασιλευούσῃ τῶν πανιερωτάτων ἀρχιερέων καὶ συμπαρόντος καὶ τοῦ πανευγενεστάτου καὶ ἐνδοξοτάτου ἄρχοντος μεγάλου Λογοθέτου τῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ γενικοῦ ἑρμηνέως τῆς κραταιᾶς βασιλείας κυρίου Ἀλεξάνδρου, ἔτι δὲ συμπαρόντων καὶ τῶν τιμιωτάτων κληρικῶν καὶ τῶν εὐγενεστάτων ἀρχόντων καὶ καπικεχαγιάδων τῶν ἐκλαμπροτάτων αὐθεντῶν οὐγγροβλαχίας τε καὶ μολδοβλαχίας καὶ λοιπῶν ἀρχόντων τῆς πολιτείας ταύτης, ἔτι δὲ καὶ τῶν χρησίμων γερόντων καὶ μαγιστόρων τοῦ τε εὐλογημένου ρουφετίου τῶν γουναράδων καὶ λοιπῶν εὐλογημένων ρουφετίων τῶν ἐνταῦθα ἐν Κων/πόλει ὀρθοδόξων χριστιανῶν, καὶ προβληθείσης εἰς μέσον καὶ κοινολογηθείσης ἅπαξ καὶ δὶς τῆς ὑποθέσεως ταύτης, ἐζητήθη μὲν ἐπιμελῶς παρὰ πάντων.... ὁ τρόπος τῆς διορθώσεως τοῦ κοινοῦ κακοῦ.... νὰ παύσῃ τὸ κακόν.... καὶ ὁ θείῳ ἐλέει κληρωθεὶς τὸν οἰκουμενικὸν τοῦτον θρόνον παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης κὺρ κὺρ Νεόφυτος ποιμαίνων εὐαγγελικῶς ἐν ὁσιότητι καὶ δικαιοσύνῃ καὶ μὲ τὴν πατρικὴν καὶ πνευματικὴν προστασίαν καὶ κυβέρνησιν τῆς αὐτοῦ Παναγιότητος θεοῦ εὐδοκοῦντος ὄντας εὐχαριστημένον ὅλον τὸ χριστώνυμον πλήρωμα, νὰ μὴν ἔχῃ ἡ παναγιότης του ἐνόχλησιν καὶ καταδρομὴν ἄδικον ἀπὸ κακοτρόπους τινάς, καθὼς οἱ πρὸ αὐτοῦ πατριαρχεύσαντες, ἀλλὰ νὰ παύσῃ ἕως ἐδῶ τὸ κακόν, καὶ νὰ μὴ προχωρῶσι τοῦ λοιποῦ αἱ βίαιοι καὶ παράνομοι καὶ παρὰ κανόνας, καὶ πολλῆς ζημίας καὶ ἀτιμίας πρόξενοι ἀλλαξοπατριαρχεῖαι, ἐφάνη δὲ καὶ ἐκρίθη εὔλογον καὶ ἀναγκαῖον διὰ τὴν διόρθωσιν ταύτην νὰ γίνῃ μία σύμπνοια καὶ συμφωνία καὶ ἕνωσις ἀληθινὴ καὶ βεβαία καὶ στερεὰ τῆς αὐτοῦ παναγιότητος μὲ ὅλον τὸ χριστώνυμον πλήρωμα μὲ τοὺς πρέποντας διορισμούς, συνθήκας καὶ συμφωνίας, ὥστε νὰ φυλάττωνται ἀπαραβάτως καὶ ἀπὸ τὰ δύο μέρη ὅλα τὰ εὔλογα καὶ νόμιμα καὶ δίκαια καὶ πρέποντα τῇ χριστιανικῇ καὶ ἐκκλησιαστικῇ καταστάσει καὶ ἔτζη νὰ γίνῃ ἡ ἀκριβὴς καὶ τελεία ἕνωσις μὲ τὴν ὁποίαν νὰ φυλαχθῇ ἡ στερέωσις τῆς αὐτοῦ παναγιότητος καὶ ἡ τιμὴ τῶν χριστιανῶν· καὶ νὰ μὴν προχωρῶσι πλέον σκάνδαλα....
ἐπειδὴ καὶ μὲ τὸ ἔλεος τοῦ ἁγίου θεοῦ οἱ πολυχρόνιοι ἡμῶν αὐθένται καὶ ἐξουσιασταὶ δείχνουσι πάντοτε εἰς ἡμᾶς τοὺς ὑπηκόους των πολλὴν

φιλανθρωπίαν καὶ εὐσπλαγχνίαν, καὶ μὲ ἱλαρὸν ὄμμα μᾶς ἐπισκέπτονται, καὶ δὲν θέλουσι νὰ ἔχωμεν ταραχὰς καὶ ἀλληλομαχίας, ἀλλ' ἀγαπῶσι νὰ περνῶμεν ἥσυχοι καὶ ἀτάραχοι καὶ ἀνενόχλητοι εἰς τὸν εὐτυχισμένον τους καιρὸν καὶ ἔχοντες ἄνεσιν νὰ παρακαλῶμεν τὸν θεὸν διὰ τὴν ὑγείαν καὶ εὐτυχίαν τοῦ κραταιοῦ καὶ πολυχρονισμένου ἡμῶν βασιλέως καὶ νὰ φροντίζωμεν διὰ τὴν εἰρηνικὴν κατάστασιν τῆς ἐκκλησίας μας καὶ νὰ γίνεται ὁμωφώνως καὶ ὁμοψύχως παρὰ πάντων ἀπάντησις εἰς κάθε καταδρομὴν ἄδικον κατὰ τῆς ἐκκλησίας καὶ τῆς αὐτοῦ παναγιότητος· καὶ ἐπειδὴ ἡ τοῦ Χριστοῦ ἐκκλησία καὶ τὸ χριστιανικὸν σύστημα καὶ συνάθροισμα εἶναι ἕνα ὅλόν τι συγκείμενον ἐκ διαφόρων μερῶν τοῦ ἱερατικοῦ, ἀρχοντικοῦ καὶ κοινοῦ, μάλιστα ὁμοιάζει μὲ ἕνα κῦμα· . . . . ἡ αὐτοῦ παναγιότης . . . . . ὑπόσχεται νὰ ποιμαίνῃ πάντας καὶ νὰ ἐπισκέπτεται μὲ τὴν πρέπουσαν πατρικὴν φιλοστοργίαν καὶ νὰ φυλάττῃ πρὸ πάντων τὸ δίκαιον καὶ νὰ δεφεντεύῃ τοὺς ἱεροὺς νόμους καὶ κανόνας τῆς ἐκκλησίας καὶ νὰ μὴν ἀφήνῃ νὰ παραβλέπεται τίποτε τινὸς δίκαιον· εἰ δὲ κατὰ παραχώρησιν θεοῦ ἤθελε προχωρήσῃ κατά τινα τρόπον καὶ γίνῃ τινὰς ἐπιβάτης καὶ ἁρπάσῃ τὴν πατριαρχικὴν ἀξίαν· . . . νὰ μὴ γίνῃ· . . . οὐδεὶς ἐγγυητὴς ἢ μὲ ὁμολογίαν ἢ χωρὶς ὁμολογίαν· . . . εἰ δὲ καὶ ἤθελε δώσῃ· . . . νὰ παιδεύεται· . . . καὶ νὰ χάνῃ καὶ τὰ ἄσπρα του· . . . μετὰ δὲ τὴν φυλακὴν τοῦ δικαίου (ἐκ μέρους τοῦ Π/χου) καὶ τῶν νόμων καὶ νὰ φέρεται πατρικῶς σὺν τῷ προσήκοντι λόγῳ εἰς κάθε μέλος, νὰ φυλάττεται παρὰ τῆς αὐτοῦ παναγιότητος καὶ ἡ μετὰ τῶν ἁγίων ἀρχιερέων εἰρηνικὴ ἐν τῷ καλῷ καὶ ἀδελφικὴ κατὰ θεὸν ὁμόνοια καὶ ἀγάπη· καὶ οὔτε ἐκ μέρους τῆς αὐτοῦ παναγιότητος νὰ γίνεται καμμία ἄδικος καταδρομὴ καὶ περιφρόνησις εἴς τινα τῶν ἁγίων ἀρχιερέων, οὔτε ἐκ μέρους τῆς ἐκείνων πανιερότητος νὰ τολμᾶται καμμία ἐπιβουλὴ καὶ ἀπείθεια καὶ ἐναντιότης πρὸς τὴν αὐτοῦ παναγιότητα εἰς τὰ εὔλογα καὶ πρέποντα προστάγματα καὶ παραγγέλματα· ἀλλ' οὐδέ τινας τῶν ἀποδημούντων ἐν ταῖς ἐπαρχίαις αὐτῶν ἀρχιερέων νὰ τολμᾷ νὰ ἔρχεται εἰς Κωνσταντινούπολιν χωρὶς ἀδείας καὶ ἐντολῆς τῆς αὐτοῦ παναγιότητος, ἀλλ' ἐὰν τυχὸν καὶ θέλει νὰ ἔλθῃ διά τινα κατεπείγουσαν χρείαν καὶ ἐπικειμένην ἀνάγκην νὰ ἐμφανίζῃ πρῶτον διὰ γράμματός του τὴν τοιαύτην του περίστασιν καὶ τότε εἰσακουόμενος νὰ λαμβάνῃ ἄδειαν διὰ πατριαρχικῆς ἐπιστολῆς καὶ νὰ ἔρχεται. Ὁμοίως καὶ ἐκ τῶν ἐνδημούντων ἐνταῦθα ἀρχιερέων ὀψέ ποτε φωραθῇ τις καὶ ἀπελεγχθῇ ἐπιβουλήν τινα καὶ καταδρομὴν μετερχόμενος κατὰ τῆς ἐκκλησίας καὶ τοῦ προεστῶτος, ὄχι μόνον νὰ διώκεται ἀλλὰ καὶ μεγάλως νὰ παιδεύεται καὶ τῆς ἐπαρχίας του νὰ ἐξωθῆται καὶ τῷ τρόπῳ λοιπὸν τούτῳ τῆς ἀμοιβαίας ἀγάπης τε καὶ τιμῆς νὰ φυλάσσεται ὁ τῆς εἰρήνης καὶ ὁμονοίας σύνδεσμος μεταξὺ τῆς αὐτοῦ παναγιότητος καὶ τῶν ἁγίων ἀρχιερέων, ἀκολούθως δὲ νὰ φυλάττωνται καὶ τὰ προνόμια καὶ

δικαιώματα τοῦ τε ἀρχοντικοῦ συστήματος καὶ τοῦ εὐαγοῦς κλήρου καὶ οὔτε οἱ εὐγενέστατοι ἄρχοντες καὶ τιμιώτατοι κληρικοὶ ὁ καθεὶς κατὰ τὴν τάξιν καὶ ἀξίαν καὶ προκοπὴν ὁποῦ εὐμοίρησε νὰ ἀξιοῦται καὶ νὰ ἀπολαμβάνῃ ἀναλόγως τὴν πρέπουσαν παρὰ τῆς αὐτοῦ παναγιότητος πατρικὴν φιλοστοργίαν καὶ περιποίησιν καὶ ἑπομένως ὅλοι οἱ ἐπίλοιποι χριστιανοὶ νὰ ἀπολαμβάνωσι τὴν ὀφειλομένην πατρικὴν ἀγάπην καὶ ἐπίσκεψιν καὶ ἐν ἑνὶ λόγῳ ὁ καθεὶς νὰ εὑρίσκῃ τὸ δίκαιόν του καὶ νὰ μὴ καταφρονῆται οὔτε νὰ ἀδικῆται. Ἐκ μέρους δὲ τῆς κοινότητος ὅλων τῶν χριστιανῶν ἀρχόντων τε καὶ ἀρχομένων νὰ φυλάσσηται καὶ νὰ ἀπονέμεται ἡ πρὸς τὴν αὐτοῦ παναγιότητα ὡς εἰς ποιμένα καὶ πατριάρχην καὶ πατέρα φιλόστοργον ἡ χρεωστουμένη ἄκρα αἰδὼς καὶ εὐλάβεια καὶ εὐπείθεια καὶ ὑποταγὴ καὶ νὰ προσφέρωμεν ἅπαντες τὸ προσῆκον σέβας καὶ τὴν τιμὴν τῇ πατριαρχικῇ ἀξίᾳ καὶ μεγαλειότητι, καὶ τῷ τρόπῳ τούτῳ φυλαττομένων ἐξ ἀμφοτέρων τῶν μερῶν τῶν προσηκόντων δικαιωμάτων. Ἰδοὺ ὑποσχόμεθα ἐν τῷ παρόντι μιᾷ ψυχῇ καὶ ὁμοφώνῳ γνώμῃ νὰ ἤμεθα τοῦ λοιποῦ ὅλοι μας ἡνωμένοι καὶ ἀδιαίρετοι καὶ νὰ ἀκολουθῶμεν τῷ ποιμένι ὡς πρόβατα αὐτοῦ ἴδια, καὶ (ἐὰν ;) ὀψέποτε ἤθελεν ἀκολουθήσῃ καμμία καταδρομή· . . . . καὶ ἐν ἑνὶ λόγῳ νὰ θελήσῃ νὰ κάμῃ ἀλλαξοπατριαρχεῖαν παρανόμως καὶ ἔξω κανόνων χωρὶς καμμίαν αἰτίαν εὔλογον, καὶ χωρὶς εἴδησιν καὶ γνώμην τῆς ἱερᾶς συνόδου, καὶ τοῦ εὐαγοῦς κλήρου καὶ ἀρχοντικοῦ πολιτεύματος νὰ στεκώμεθα ὅλοι γενναίως καὶ ὁλοψύχως καὶ νὰ ἀναγκαζώμεθα μέχρι καὶ αὐτῆς τῆς ζωῆς εἰς τὸ νὰ ἀπαντηθῇ ἡ τοιαύτη καταδρομή, καὶ ἡ μὲν αὐτοῦ παναγιότης νὰ δεφεντευθῇ ὁ δὲ κατατρέχων νὰ παιδευθῇ ὅστις καὶ ὁποῖος εἶναι. Ὅθεν καὶ εἰς ἔνδειξιν καὶ ἀσφάλειαν τῆς ἠθικῆς καὶ χριστιανικῆς ἑνώσεως ἡμῶν καὶ συμφωνίας ταύτης ἐγένετο καὶ τὸ παρὸν κατασφαλισθὲν τῇ βεβαιώσει τῆς αὐτοῦ παναγιότητος καὶ μαρτυρίας τῶν πανιερωτάτων ἀρχιερέων καὶ λοιπῶν καὶ ταῖς ἰδίαις ἡμῶν ὑπογραφαῖς.

Γ β 9 (Κῶδιξ Φωτίου-Κυπρίου Β′, σελ. 69)

Εἰς εἰρήνην καὶ ἕνωσιν ἀρχιερέων μετὰ πατριάρχου συμφωνητικόν.

Τοῦ τῆς ἐκλογῆς σκεύους· . . . (τὸ προοίμιον)

Ἐπεὶ ἐν τοῖς παροῦσι καιροῖς ἡ κοινὴ μήτηρ μεγάλη τοῦ Χριστοῦ ἁγία ἐκκλησία, ἡ τροφὸς καὶ εὐεργέτις ἡμῶν ἁπάντων ἡ καὶ σώματος δεσποτικοῦ θέσιν ἐπέχουσα καὶ ἡμᾶς ὡς μέλη αὐτοῦ ἐν ἑαυτῇ συνέχουσα, καὶ ὑπὸ μιᾷ κεφαλῇ τῷ δεσπότῃ ἡμῶν Χριστῷ συγκατατάττουσα καὶ συναρμολογοῦσα κρίμασιν οἷς οἶδε θεὸς ἔφθασεν ὑποπεσεῖν, διὰ τὰς τοῦ καιροῦ καὶ τῶν πραγμάτων προεπισυμβάσας διαφόρους ἐπηρείας τε καὶ ἀνωμαλίας χρέεσι βαρυτάτοις καὶ πολυαρίθμοις· . . . . . ὅ,τε παναγιώτατος καὶ σεβασμιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης ὁ οἰκουμ. π/χης κύριος

κύριος Κύριλλος καὶ ὅσοι ἐκ τῶν ἐνδημούντων ἐν τῇ βασιλευούσῃ ταύτῃ τῶν πόλεων συναδελφῶν ἁγίων ἀρχιερέων διατελοῦμεν περὶ τὴν αὐτοῦ παναγιότητα, ὑπό τε τῶν βιαίων καὶ ἀπαραιτήτων δανειστῶν καὶ ὑπὸ τῶν ἀφεύκτων καὶ κατεπειγόντων βασιλικῶν δοσιμάτων καὶ ἀπαιτήσεων, τοῦ τε ἐπικειμένου βασιλικοῦ μιρίου καὶ λοιπῶν ἐνοχλούμενοι καὶ στενοχωρούμενοι τὰ μέγιστα, καὶ διὰ τὸ μὴ εὑρίσκειν μηδεμίαν θεραπείαν. . . συνόδου συγκροτηθείσης ὑπερτελοῦς διὰ κοινῆς συνελεύσεως τῆς τε αὐτοῦ παναγιότητος καὶ τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου π/χου Ἀντιοχείας κυρίου κυρίου Συλβέστρου, ἅτε καὶ δὴ τῆς αὐτοῦ μακαριότητος συνεπιδημούσης τέως ἐνταῦθα, καὶ πάντων τῶν συμπαρευρεθέντων συναδελφῶν ἀρχιερέων, τῶν τε τιμιωτάτων καὶ λογιωτάτων κληρικῶν, εὐγενεστάτων τε καὶ ἐνδοξοτάτων ἀρχόντων ρουφετίων. . . . σκέψεως τε πολλῆς καὶ συμβουλῆς περιεσκεμμένης καὶ ἐρεύνης ἀκριβοῦς γενομένης (διὰ κοινῆς συμφορᾶς ἀξιόλογον γενέσθαι τὴν θεραπείαν τοῦ τραύματος. . . . ἀδύνατος ἡ θεραπεία) «ἐὰν μὴ πρότερον γένηται ἀναστολὴ καὶ ἀνακοπὴ τῶν προξενούντων αἰτίων καὶ κινημάτων. . . . . καὶ ἐὰν μὴ ἀναιρεθῇ ἐκ μέσου τὸ τῆς φιλαρχίας νόσημα κατὰ τῆς πρώτης ταύτης καθέδρας τῶν ἐκκλησιῶν καὶ αἱ ἄτακτοι κατ' αὐτῆς ὁρμαὶ καὶ παρὰ κανόνας ἐπιβάσεις τῶν σπουδαρχούντων (ἐν ἑνὶ λόγῳ αἱ ἀλλαξοπατριαρχεῖαι) κυρωθείσης. . . .
τῆς μεταξὺ τῆς αὐτοῦ παναγιότητος καὶ τῶν ἀρχιερέων τελείας ἐν Χριστῷ εἰρήνης. . . . τοῦ μηδεμίαν τὸ ἀπὸ τοῦδε τολμᾶσθαι ἐπιβουλὴν παρά τινος ἡμῶν ἁπάντων κατὰ τῆς αὐτοῦ παναγιότητος καὶ τοῦ οἰκουμ. θρόνου ἐπὶ βλάβῃ καὶ καταστροφῇ καὶ ζημίᾳ τῆς τοῦ Χρ. Μ. Ἐκκλησίας . . . . ἀλλὰ ἐπιμένοντας τῷ συνασπιμῷ πάντας ἡμᾶς ἐπὶ τῇ τοιαύτῃ δεφενδεύσει ἀνθίστασθαι καὶ ἀποδιώκειν πάντα τὸν ὁπωσοῦν ἐπιβουλεύειν ἐθέλοντα τῇ αὐτοῦ παναγιότητι καὶ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ. Καὶ τούτων συντελεσθέντων πρότερον καὶ τοῦ κακοῦ ἀνασχεθέντος τῆς ἐπὶ τὰ πρόσω φορᾶς, ἔχωσι συναντιλαβέσθαι μεθ' ἡμῶν καὶ οἱ ρηθέντες ἄρχοντες καὶ χριστιανοὶ ἐπὶ τῇ ἀπαιτουμένῃ συνδρομῇ καὶ ἐλεημοσύνῃ τῆς ἐκκλησίας καὶ τῇ θεραπείᾳ τῆς ἐπικειμένης αὐτῇ ἀνάγκης. Τοῦ οὖν προβλήματος καὶ ζητήματος τούτου ὡς θεοφιλοῦς καὶ θεαρέστου τυγχάνοντος καὶ μονονοὺ ἱκανοῦ τὸ τοῦ τραύματος δοῦναι ἀκεσώδυνον φάρμακον, συγκατανεύσαντες ὁλοψύχως ἐπὶ τούτῳ καὶ ἀποδεξάμενοι μεθ' ἁπάσης ἀγάπης τὴν γνώμην αὐτήν· δεῖν ἔγνωμεν ἕκαστος τῶν συναδελφῶν ἀρχιερέων κατ' ἰδίαν βεβαιῶσαι καὶ κατοχυρῶσαι αὐτὸ διὰ γράμματος ἰδίου ἐνυπογράφου. Ὅθεν ἡ ταπεινότης ἡ ἐμὴ ὑπόσχεται καὶ ὁμολογεῖ ἐν τῷ παρόντι ἐν φόβῳ θεοῦ καὶ καθαρῷ καὶ ἀπλάστῳ συνειδότι κατὰ τὴν γενομένην μετὰ τῶν εὐγενεστάτων ἀρχόντων καὶ χρησίμων ρουφετίων συνοδικὴν ψῆφόν τε καὶ ἀπόφασιν καὶ θεάρεστον καὶ θεοσεβῆ συμβουλὴν καὶ ὁμόφωνον γνώμην φυλάττειν τὴν ἐκ Χριστῷ ἀγάπην καὶ εἰρήνην πρὸς τὴν αὐτοῦ παναγιό-

ῆτα· καὶ πείθεσθαι αὐτῷ εὐγνωμόνως ὡς προεστῶτι ἐμῷ καὶ κεφαλῇ τῆς ἐκκλησίας καὶ ἀγωνίζεσθαι παντὶ σθένει ὑπὲρ τῆς συστάσεως καὶ στερεώσεως αὐτοῦ καὶ μηδέποτε τολμῆσαι ἐπιβουλήν τινα ἐπὶ ταραχῇ καὶ ἐξώσει τῆς αὐτοῦ παναγιότητος καὶ διασῶσαι ὅλως αὐτὸν ἢ ζητῆσαι ἁρπάσαι τὸν οἰκουμ. θρόνον, ἢ ὅλως φαντασθῆναι τὴν οἰκουμενικὴν ταύτην ἀρχήν, οὔτε οἴκοθεν ὁρμηθεὶς εἰς τοῦτο οὔτε προσκαλούμενος, οὔτε καὶ ὑπ' αὐτῆς τῆς ἐξουσίας βιαζόμενος ἀλλ' ἀποποιεῖσθαι ὅλως διόλου τὸ πρᾶγμα μετὰ γενναίας ἐνστάσεως· ἀλλ' οὔτε συναινέσαι καὶ συντρέξαι καὶ συνεργῆσαι ὁπωσοῦν ἐμμέσως ἢ ἀμέσως ἢ λόγῳ, ἢ ἔργῳ, ἢ χρήμασι τῷ τὴν τοιαύτην ἐπιβουλὴν τολμήσοντι, εἴτε ἐκ τῆς ἱερᾶς ὁμηγύρεως τῶν συναδελφῶν ἀρχιερέων ἢ ἄλλος τις ἔξωθεν τοῦ ἀρχιερατικοῦ ἢ ὅλως τοῦ ἱερατικοῦ καταλόγου ἀλλὰ ἀποστρέφεσθαι καὶ διώκειν καὶ κατατρέχειν τὸν τοιοῦτον ἐπίβουλον σθένει παντὶ ὡς ἀντάρτην καὶ κοινὸν λυμεῶνα καὶ φθορέα......

καὶ δή τε ὑπόσχεται ἔχειν ὁμόνοιαν καὶ μειαδιώκειν τὴν ἀγάπην συνδεδεμένην ἐν Χριστῷ τῇ αὐτοῦ παναγιότητι καὶ λοιπῇ ἱερᾷ ὁμηγύρει, μηδὲν δολερὸν μηδὲ ὕπουλον ἔσωθεν ἔχουσα......

τούτων οὕτως ἐχόντων καὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἐν τοσαύτῃ ἐπαλληλίᾳ κυμάτων κλυδωνιζομένης καὶ ποντουμένης, τῇ ῥηθείσῃ εἰρήνῃ τε καὶ ἀγάπῃ ἡμῶν καὶ ἀκριβεῖ ἑνώσει καὶ συνδέσει μετὰ τῆς ἱερᾶς ὁμηγύρεως ἐπὶ συστάσει τῆς αὐτοῦ παναγιότητος καὶ ἁπάσης ἐπιβουλῆς ἀποδιώξει καὶ ἀπαντήσει κατὰ τὸν ἀνωτέρω ἐκτεθέντα τρόπον εἰς τὸ δυνηθῆναι φυγεῖν τὸν ἐπηρτημένον κίνδυνον..... (ἕπεται ἡ ἀρὰ τῆς αὐτοκαθαιρέσεως).

Ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν τῆς ἐμῆς ὑποσχέσεως γράμμα κατασφαλισθὲν καὶ τῇ ἰδίᾳ μου ὑπογραφῇ καὶ σφραγῖδι.

Γ γ 1 (Britisch Museum Collection Additional Nº 34.060)

Ἱερεμίας ἐλαίῳ* (sic) *Θεοῦ ἀρχιεπίσκοπος Κων/πόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης

Ὁσιώτατοι πνευματικοί, καὶ θεοσεβέστατοι ἱερεῖς, τῆς θεοσώστου νήσου Κρήτης, κατὰ πνεῦμα υἱοὶ τῆς ἡμῶν μετριότητος χάρις εἴη ὑμῖν ἅπασι καὶ εἰρήνη ἀπὸ Θεοῦ παντοκράτορος. Τῇ ἡμῶν μετριότητι ἀνηνέχθη, πῶς τινὲς τῶν ἱερέων τε καὶ πνευματικῶν εἰώθασιν ἐν τῷ βαπτίζειν τοὺς τῶν χριστιανῶν παῖδας, προσκαλεῖν ἀναδόχους πολλούς. Οἵ θέντες ἐν τινι ὀθώνι (sic) τὸν παῖδα ἐξ ἴσου πάντες οἱ ἀνάδοχοι βαστάζουσι. Καὶ πρὸς τὰς ἐρωτήσεις ἀποκρίνονται· καὶ ὡς ἀνάδοχοι πάντες λογίζονται· ὅπερ ἔνι παράνομον τῆς ὀρθοδόξου πίστεώς τε καὶ τάξεως· διὰ τοῦτο γράφωμεν (sic) πρὸς ὑμᾶς πάντας, καὶ ἀποφαινώμεθα (sic)· ἵνα ἀπὸ τοῦ νῦν μηδ' ὅλως τοιοῦτόν τι γένοιται (sic) αὐτόθι· ἀλλ' εἷς μόνος ἔστω ἀνάδοχος, ὡς οἱ θεῖοι καὶ

ἱεροὶ νόμοι διακελεύονται, καὶ ὁρίζουσι· ἐπεὶ καὶ πνευματικὴ συγγένεια, ἐκ τοῦ θείου βαπτίσματος γίνεται. Καὶ εἰς βαθμοὺς καὶ πρόσωπα, ἀπαραιτήτως κεκώλυνται καὶ υἱὸς πνευματικὸς ὁ δεχθεὶς τοῦ ἀναδόχου ὑπάρχει. Οὕτως οὖν ποιήσατε, κατὰ τὴν ἀπόφασιν τῆς ἡμῶν μετριότητος. Ὅς γὰρ ἀπὸ τοῦ νῦν καὶ ἔτι ἐπιχειρίσει (sic) τοιοῦτον τι ποιῆσαι, ἀργίᾳ καὶ ἀφορισμῷ καθυποβληθήσεται καὶ ἐκκλησιαστικῶς παιδευθήσεται, γένοιτο. Ὃς (sic) παρακαλῶ ὡς γράφομεν, καὶ μὴ ἄλλως, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεως (sic) εἴη μετὰ πάντων ὑμῶν, ἀμήν.

μηνὶ μαΐῳ ἰνδ. δ'

Γγ 2 (Baroccii N° 216)


Ἱερεμίας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κων/πόλεως Νέας Ρώμης καὶ οἰκουμενικὸς πατριάρχης

Εὐλαβέστατοι ἱερεῖς καὶ πνευματικοὶ πατέρες υἱοὶ κατὰ πνεῦμα τῆς ἡμῶν μετριότητος χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ παντοκράτορος· τὸ ψήφισμα τὸ ψηφισθὲν παρὰ τῆς ἡμῶν μετριότητος περὶ τῆς τῶν παίδων ἀναδοχῆς καὶ βαπτίσεως ὅτι οὐκ εὔλογον οὐδὲ νόμιμον οὐδὲ πρέπον, τὸ μετὰ πλειόνων ἀναδόχων ἀλλὰ μετὰ ἑνὸς μόνου κατὰ τοὺς ὅρους τῶν ἁγίων πατέρων βαπτίζειν καὶ ἀναδέχεσθαι τούτους ἡμᾶς, ἠκούσαμεν ὅτι ὑμεῖς τὸ τοιοῦτον οὐκ ἐστέρξατε ὅλως· ἀλλὰ καταπεφρονήκατε τούτου καὶ ἡμῶν, οὐ παύοντες καθ' ἑκάστην τοῦ βαπτίζειν ὑμᾶς μεθ' ὅσων ἂν ἐντύχοιτε ἀναδόχων καίτοι ἀργίας οὔσης πρὸς τὰ τοιαῦτα, ὑμεῖς οὐκ αἰσχύνεσθε πράττοντες οὕτω, κἂν πρὸς ὀλίγον παῦσαι τοῦ τὰ θεῖα ἱερουργεῖν μυστήρια, ταῦτα μεμαθήκαμεν ὑπὸ πολλῶν καὶ πεπείσμεθα μᾶλλον ὅτι ἀληθῆ εἰσι· διὸ γράφομεν καὶ προστάσσομεν ὑμᾶς τοῦ μηκέτι ἀπὸ τοῦ νῦν πράττειν τοιαῦτα· ἀλλὰ καθὼς τὸ ἡμέτερον ἐμφαίνει πρόσταγμα ἵνα ποιῆτε· ἤτοι τὸ βαπτίζειν μετὰ ἑνὸς μόνου ἀναδόχου, ὁποῖος ἂν εἴη· ἤτοι ἐπὰν καὶ ὁ τῶν πρώτων εἴη ἀναδόχων· εἰ δέ τις μετὰ πολλῶν ἐθελήσειε ἀναδόχων ἢ καὶ ἠθέλησε βαπτίσαι τινά, ἵνα εἴη μῆνας τοσούτους ἀργὸς ὁ τοιοῦτος, ὅσοι οἱ τοῦ παιδίου ἀνάδοχοι τύχωσιν εἶναι. Ὅς δ' ἂν οὐκ ἐθελήσῃ, φυλάξαι τὴν ἄργειαν, ἵνα εἴη ἀργὸς πάσης ἱεροπραξίας· οἱ δὲ τοῦ παιδίου ἀνάδοχοι ἔστωσαν ὑπόδικοι καὶ αὐτοὶ τῷ ἡμετέρῳ ἀφορισμῷ μετὰ πάντων τῶν συναινούντων, ἀλλὰ ταῦτα μὲν ἡμῖν οὕτως. Ὑμῶν δὲ ἔστω τὸ σπουδάσαι ἵνα μή τε ἑαυτοῖς μή τε ἄλλοις γένησθε πρόξενοι τῶν τοιούτων κακῶν· ἵνα καὶ ἡ χάρις καὶ τὸ ἔλεος τοῦ θεοῦ εἴη μετὰ πάντων ὑμῶν, ἀμήν.

μηνὶ μαΐῳ ἰνδικτιῶνος δ'.

Γγ 3

Ἴστε δὲ παρὰ τοῦ Ἱερεμίου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου συνοδικῶς ὥρισται, ἵνα μηδεὶς ἔχοιεν ἀπὸ τοῦ



ΤΟ ΕΝ ΤΩι ΒΡΕΤΑΝΝΙΚΩι ΜΟΥΣΕΙΩι ΑΝΤΙΓΡΑΦΟΝ
ΤΟΥ ΠΡΩΤΟΥ ΠΡΟΣ ΤΟΥΣ ΚΡΗΤΑΣ ΓΡΑΜΜΑΤΟΣ ΙΕΡΕΜΙΟΥ Α'

νῦν ὡς πνευματικοὺς παντάπασιν τούς τε ἑαυτῶν οὐκ ἔχοντας ἐνταλτηριώδες γράμμα παρὰ τῆς ἐκκλησίας. Διά τοι τοῦτο ἐθελήσαμεν καὶ ἐλάβομεν τούτων ἁπάντων τὰ ἐνταλτήρια, καὶ εἴδομεν. Καὶ ὅσα μὲν ὑπῆρχον παρὰ τῆς ἐκκλησίας, τούτοις ἀφίεμεν αὐτά. Ὅσα δὲ οὐ παρὰ τῆς ἐκκλησίας, ἀλλ' ὑπό τινος ἄλλων τῶν ἐπισκόπων ἢ μητροπολιτῶν, ταῦτα κατέχομεν καὶ ἀντ' αὐτῶν διδόαμεν ἄλλα, ἄλλα μὲν παρὰ τῆς ἐκκλησίας ὑπάρχοντα, ἄλλα δὲ καὶ παρ' ἡμῶν ἰδιοχείρως γραφόμενα, λαμβάνοντες αὐτῆς τὸ ἐκδικαῖον, ἐξ ὧν ἓν καὶ τὸ παρὸν ἐνταλτήριον, ὅ γε γράφομεν καὶ διδόαμεν τῷ παρόντι πνευματικῷ κυρῷ Ἰωάννῃ τοὐπίκλην κουδουμνῇ, τοῦ ἔχειν ἄδειαν καὶ παντελῆ ἐξουσίαν ἀπὸ τοῦ νῦν, δέχεσθαι λογισμοὺς καὶ ἐννοίας καὶ πράξεις τῶν ἐπ' ἐξομολογήσει προσερχομένων αὐτῷ χριστιανῶν, καὶ ἐρευνᾶν καὶ ἀνακρίνειν αὐτοὺς πολυτρόπως, καὶ τὰ ἐν βάθει τῆς αὐτῶν διανοίας ἀνακαλύπτειν καὶ φανεροῦν καὶ θεραπεύειν τρόπῳ παντὶ καὶ οἰκονομεῖν τὴν τούτου διάνοιαν ἀναλόγως κατὰ τὴν ἑκάστου δύναμιν, καὶ τὰς τῶν ἁμαρτημάτων διαφοράς· ἐξέσται γὰρ αὐτῷ δῆσαι ὅσα δεῖ δεθῆναι. . . . . ὅσα δὲ τὴν αὐτοῦ ὑπερβαίνουσι δύναμιν καὶ διάνοιαν ἤτοι τὰ μείζονα τῶν ἁμαρτημάτων καὶ τ' ἄλλα (***τὰ τούτοις ὅμοια ὑπὸ τοῦ νόμου κεκώλυνται τοῦ μὴ γίνεσθαι παντάπασιν***) ταῦτα παραπέμπειν τῇ καθολικῇ ἐκκλησίᾳ σὺν τῷ ἐκδικαίῳ αὐτῆς ἵνα τῆς προσηκούσης τύχωσι θεραπείας ἐπιλύσεώς τε καὶ διορθώσεως. Διδόαμεν δὲ αὐτῷ ἄδειαν καὶ τοῦ ἀποκείρειν μοναχοὺς τοὺς τὸν μοναδικὸν καὶ ἡσύχιον βίον καλῶς προαιρουμένους ἔν τε τῇ ζωῇ αὐτῶν καὶ ἐν τῇ ἐσχάτῃ καὶ τελευταίᾳ ἀναπνοῇ μετὰ τῶν ἀνηκουσῶν τῷ μοναχικῷ τούτῳ σχήματι ἀποταγῶν τε καὶ ὑποταγῶν καὶ τῶν λοιπῶν συνηθειῶν, ὧν δὴ χάριν ἁπάντων τούτων καὶ τὸ παρὸν ἐνταλτηριῶδες γράμμα ἐγένετο παρ' ἡμῶν τῷ διαληφθέντι ὁσιωτάτῳ πνευματικῷ κυρίῳ Ἰωάννῃ τῷ κουδουμνῷ υἱῷ κατὰ πνεῦμα ἀγαπητῷ τῆς ἡμετέρας ἀναξιότητος.

Μάξιμος ἱερομόναχος ἔξαρχος πατριαρχικός.

͵ξνβ΄ ἰνδ. γ΄.

Γ γ 4 (Baroccii 216)

Ἐκλαμπρότατοι αὐθένται τῆς θεοφυλάκτου πάσης νήσου Κρήτης χάρις, εἰρήνη καὶ εἰς ἐπικράτησις κατὰ τῶν ἐχθρῶν, ἐν τῇ πολυχρονίῳ ὑμῶν αὐθεντίᾳ παρὰ θεοῦ παντοκράτορος. Ὥσπερ διηνεκῶς τοῦτ' αὐτὸ πρεσβεύομεν τ^{ω} ἀοράτῳ καὶ παντοδυνάμῳ θεῷ, καὶ σκῆπτρά τε τῆς ὑμετέρας αὐθεντίας ἐπικρατύνειν καὶ νίκας κατὰ βαρβάρων ἀεὶ παρέχειν, ἵνα καὶ ἡμεῖς οἱ ταπεινοὶ χριστιανοὶ διὰ τῆς ὑμῶν σκέπης φιλαττοίμεθα ἐν καιρῷ πειρασμοῦ. Ἡ ἐκλαμπροτάτη ὑμῶν ἱερὰ αὐθεντία γινωσκέτω ὑμᾶς διατελοῦντας ἐν ἐσχάτῃ πενίᾳ τε καὶ ἐνδείᾳ. Ἐποικοδομοῦντες ἐν τούτῳ τῷ ἁγίῳ ὄρει μονὴν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Νικολάου, βοηθοῦ δὲ τῆς ἐκλαμπροτάτης ἡμῶν αὐθεντίας. . . . .

καὶ αὐξάνειν τὰ πολυχρόνια σκῆπτρα ὑμῶν, χρήζομεν δαπάνης πολλῆς καὶ οὐκ ἔχομεν οὐδὲ δυνάμεθα εὑρεῖν. Ἐπεὶ γὰρ ἐν τοῖς μέρεσιν ἡμῶν τὰ μάλιστα ἐβάρυνεν ὁ δεσπότης ἅπαντας τοὺς χριστιανοὺς ἐλεημοσύναις ὅθεν ὦ ἐκλαμπρότατε καὶ εὐσπλαγχνικώτατε αὐθέντα, ἵνα μὴ τὸ θεῖον καὶ ἱερὸν τέμενος ἡμίκτιστον μείνῃ, μὴ ἔχοντες ἡμεῖς αὐτοὶ τὶ ἄρα καὶ δράσαιεν ἢ πρὸς τίνας καταφύγοιεν, οὐκ ἀπελπίσαντες προσπίπτομεν ὑμῖν μετὰ πολλῶν παρακλήσεων καὶ ἱκεσιῶν ὅπως τοὺς ἐξ αὐτοῦ ἐνθαδὶ προσδραμόντας κρήτην προσκυνῆσαι τρισεβάστους ἡμῶν τούτους πατέρας κύριον Μάξιμον ἱερομόναχον μαγκανάρην, ὅν παρεκαλέσαμεν λίαν ποιῆσαι τὴν ὑπουργίαν ταύτην τῆς ἐλεημοσύνης συνεργήσητε καὶ βοηθήσητε αὐτῷ ὡς οἷόν τε καὶ μηδαμῶς κωλύσητε ἐγχειρίσασθαι τῆς ἐλεημοσύνης ὁμοίως σὺν αὐτῷ καὶ ἅπασι τοῖς ἄλλοις πνευματικοῖς οὓς παρακαλοῦμεν μὴ ὀκνῆσαι ἐπὶ τοῖς παροῦσιν αἰτήμασιν. Ἐὰν γοῦν οὕτως πράξητε, οὐκ ἐν ἡμῖν, ἀλλ' εἰς αὐτὸν τὸν Χριστὸν ὁ τοιοῦτος καρπὸς διαβαίνει, ὅς ἐν τῇ δευτέρᾳ αὐτοῦ καὶ φρικτῇ παρουσίᾳ οὐδὲν ἄλλο ἀπαιτεῖ ἡμῖν ἢ αὐτὴν τὴν ἐλεημοσύνην. Ἐλεήσατε τοίνυν καὶ ἡμᾶς τοὺς οἰκοῦντας ἐν τοῖς ἀνόμοις καὶ ἀσεβέσιν ἔθνεσιν, ἵνα καὶ αὐτοὶ ἐλεηθῆτε καὶ εἰς ὕψος ἀνώτερον πάντων τῶν ἐχθρῶν ὑμῶν ἀρθῆτε παρὰ τῷ θεῷ ᾧ πρέπει δόξα, τιμή, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας ἀμήν.

,αφμγ´ σεπτ. στ´.

Γρηγόριος ἱερομόναχος καὶ πνευματικὸς καθηγούμενος δὲ τῆς σεβασμίας μονῆς τοῦ θαυματουργοῦ Νικολάου πρεσβευτὴς ἄγριον ὑψῶν τὸ κέρας ὑμῶν τῶν εὐσπλάγχνων αὐθεντῶν καὶ οἱ σὺν ἐμοὶ ἱερομόναχοι πάντες ἱκετευτικῶς ὡς δοῦλοι γράφομεν.

Γ γ 5 (Britisch Museum additional 22911 889 ή 434 160)

Τῷ παναγιωτάτῳ καὶ θειοτάτῳ αὐθέντῃ καὶ δεσπότῃ τῷ οἰκουμενικῷ Πατριάρχῃ κυρίῳ κυρίῳ κυρίλλῳ τῷ ἐκ Βερροίας.

Παναγιώτατε καὶ σοφώτατε καὶ θεσπεσιώτατε δέσποτα. Ταῖς παρελθούσαις ἡμέραις ἦλθε γράμμα τίμιον τῆς σῆς παναγιότητος καθῆρον τὸν πρώην πρωτοπαπὰν τοῦ χωρίου Χαλκέας δι' ἀναφορᾶς καὶ γραμμάτων δύο καὶ τριῶν ἀρχόντων ἀπὸ ἐδῶ ἡ ὁποία ἀναφορὰ καθὼς τὴν ἔγραψαν δὲν εἶναι ἡ ὑπόθεσις ἐπειδὴ καὶ τέσσαρας χρόνους καὶ ἐπέκεινα ἤδη ἦλθεν διαφορὰ ἀναμεταξὺ τοὺς φράγγους καὶ τοὺς ρωμαίους διὰ κάπιαν ὑπόθεσιν ἐκκλησιαστικὴν καὶ οἱ φράγγοι διὰ τὴν ὁποίαν ὑπόθεσιν ἐχώρισαν οἱ ρωμαῖοι καὶ οἱ φράγγοι καὶ ἔσοντας καὶ ὁ εἰρημένος πρώην πρωτοπαπὰς παπᾶ Ἀλέξανδρος νὰ εἶχεν φιλίαν μὲ μερικοὺς ἀπὸ τοὺς φράγγους διὰ τοῦτο ἐπαναστάντες οἱ ρωμηοὶ εὔγαλαν τὸν ἄνωθεν ἀπὸ τὸ ὀφφίκιον δυναστικῷ τῷ τρόπῳ. Καὶ ἐξωτερικῶς ἐζημίωσαν καὶ βίᾳ παρ' αὐτοῦ ἔγγραφον ὁμολογίαν ἔλαβον τοῦ μὴ ζητῆσαι ποτὲ καιροῖς τὸ

εἰρημένον ὀφφίκιον, ἄν δὲν καὶ λάβι αὐτὸ εἶναι ὑπὸ καθαίρεσιν διόπερ καὶ αὐτὸς ὁρῶν τὴν ὁρμὴν τοῦ λαοῦ ἄκων καὶ μὴ βουλόμενος ὑπέγραψε. Τοίνυν καὶ ὁ υἱὸς ἐκείνου ἔλαβε τὸ ὀφφίκιον αὐτὸ διὰ τοῦτο τινὲς τῶν ἐνθάδε φθονοῦντες ἔγραψαν κατ' αὐτοῦ. Ὅθεν τοίνυν ἀντηβολοῦμεν τὴν θείαν κάραν καὶ δεόμεθα παναγιώτατε δέσποτα ἐπειδὴ καὶ ὁ αὐτὸς παπᾶ Ἀλέξανδρος καθὼς ἐξετάσαμεν δὲν εἶχεν κανένα πταίσιμον ἀλλὰ μόνον διὰ τὰ πεισματικὰ ἐπαιδεύθη εἰ βουλητὸν τῇ σῃ παναγιότητι διὰ τιμίου αὐτῆς γράμματος συγχωρηθήτω ὁ διαληφθεὶς παπᾶ Ἀλέξανδρος ἡμεῖς καὶ ἐσόμεθα καθὼς καὶ ὑπόχρεοι δαιόμενοι κυρίῳ τῷ θεῷ ὅπως ἐρρομένος διατελείης τὸν τῆς ἀληθείας λόγον ἀεὶ ὀρθοτομῶν εἰς ἐτῶν πολλῶν περιόδους· κατὰ τὸ ,αχλς΄ ἀπριλίῳ γ΄.

ὁ κατὰ πάντα δοῦλος τῆς παναγιότητος Ἰάκωβος ὁ σεβαστός. Μικρόττατος δοῦλός της Μάνος. (αἱ ἀνορθογραφίαι ὡς ἔχουν ἐν τῷ κειμένῳ) (a letter from Negreponte Χαλκέος σημειοῖ ὁ κατάλογος τοῦ Βρ. μουσείου).

Γ δ 1 (Ἐθν. Βιβλιοθήκη Παρισίων, supplément grec 1281 ἀρ. 2).

Μητροφάνης ἐλέῳ Θεοῦ. . .

Ἡ ἄναρχος καὶ ἀτελεύτητος φύσις τῆς ἁγίας καὶ μακαρίας τριάδος, τοῦ ἑνὸς τῇ φύσει θεοῦ, μὴ ἀρκεσθεῖσα τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλὰ βουληθεῖσα εἰς αὔξησιν χυθῆναι τὸ ἀγαθὸν καὶ πλούσια εἶναι τὰ εὐεργετούμενα κατὰ τὴν θεολόγον φωνὴν τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ῥήματι μόνον παραγαγόντος ὁρατά τε φημὶ καὶ τὰ ἀόρατα, παντοιοτρόπως προνοησάμενος καὶ βουληθεὶς ὥστε μὴ μόνον τὴν προσκύνησιν (γίνεσθαι,) καὶ λειτουργίαν αὐτοῦ ἐν οὐρανῷ παρὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων, ἀλλὰ καὶ κάτω τελεῖσθαι παρὰ τῶν θείων ἀνδρῶν τῆς καθ' ἡμᾶς ἱεροαγίας τοῦ θεοῦ μεγάλης ἐκκλησίας τῇ δὲ χάριτι αὐτοῦ αὐξανομένη καὶ προκόπτουσα καθ' ἑκάστην διεπλατύνθη, δοξαζομένου τοῦ θείου αὐτοῦ ὀνόματος ἐν παντί, ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὡς καὶ κορυφῶν ὑψηκόμων καὶ δυσβάτων ἄνωθεν καθὰ δὴ ὁρῶμεν καὶ ἐν τῷ σεβασμίῳ τούτῳ μοναστηρίῳ τῆς μεταμορφώσεως τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μετεώρου (*), ὅτι θείῳ ἔρωτι τρωθείς ποτε ὁ μακάριος καὶ ὁσιώτατος ἐν μοναχοῖς Ἀθανάσιος, πτέρυγάς τε ἀναλαβὼν τὰς τοῦ Δαβὶδ. . . . τὴν ἠλίβατον ταύτην πέτραν τὴν Μεραδίων; καὶ τῶν Σταγῶν καὶ εὐλόγως καλουμέ-

---

(*) Ὑπάρχει αὐτόθι καὶ Μονὴ τῶν Ἁγίων Πάντων ἡ καλουμένη τοῦ Βαρλαάμ. Ἀντίγραφον σιγιλλίου τῆς Μονῆς ταύτης ὑπάρχει κολοβωμένον εἰς τὸν κώδικα Β2 (σ. 2-3) τοῦ Οἰκ. Πατριαρχείου. Ἐξεδόθη τῷ 1635 ἐπὶ Νεοφύτου Γ΄. Ὑπογράφουν· οἱ Ἡρακλείας Ἱερεμίας, Ἀγκύρας Λαυρέντιος, Κυζίκου Ἄνθιμος, Μιτυλήνης Παρθένιος, Μηθύμνης Κύριλλος, Ναυπάκτου Λαυρέντιος, Σμύρνης Ἰάκωβος, Διαυλείας καὶ Ταλαντίου Δανιήλ.

την μετέωρον οἷα τῶν. . .   (ζώντων ἀξιεπαίνως ;). . .
καὶ περὶ τοὺς αὐτούς. . . .   καὶ ὡς τὰς τοιαύτας πτέρυγας διαχυθῆναι τῷ θείῳ μύρῳ, τῇ εὐωδίᾳ πολλοὺς συνῆξε. . . τόπον θεῖον εὕρετο, παράδεισον ἄλλον ἔδειξεν, ἀντὶ δένδρων διαφόρων θείως ἐνασκουμένους ἀποδείξας καὶ ἀντὶ ὡραίων καρπῶν τοὺς τοῦ ἁγίου πνεύματος, ἀρετῆς γὰρ καὶ ἀγώνων ἀσκήσεως ἧς οὐδὲν τιμιώτερον καὶ ἀξιολογώτερον, οὓς οἱ τὸν θεῖον νόμον ἐν τούτῳ τῷ σεβασμιωτάτῳ μοναστηρίῳ κατὰ διαφόρους καιροὺς ἀπεδείξαντο συνάρσει θεοῦ βοηθούμενοι καὶ τὴν σύστασιν ἄχρι καὶ νῦν ἔχοντες καὶ βοηθείᾳ τῶν ἐλευθεροσωτηρίων καὶ σεπτῶν γραμμάτων, ἃ δὴ συνοδικῶς ἔδειξαν, οἱ ἐκεῖθεν πεμφθέντες, ὁ ἐν ἱερομονάχοις ὁσιώτατος κὺρ Χριστόδουλος καὶ τῶν γερόντων εἷς τῆς ἱερᾶς ταύτης συνάξεως, καὶ πρὸ τῶν ἄλλων τὸ ἐν μεμβράναις σιγιλλιῶδες γράμμα τὸ πρὸ τεσσαράκοντα ἤδη ἐνιαυτῶν καλῶς καὶ κανονικῶς ἐκδοθὲν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἱερεμίου δωρούμενον πᾶσαν ἐλευθερίαν τῷ τοιούτῳ τοῦ μετεώρου μοναστηρίῳ. Καὶ τοῦ ἔχειν ἄδειαν τοὺς κατὰ καιρὸν τυχὸν ἀρχιερεῖς λειτουργεῖν. Ἔνθεν τοι γράφοντες ἐν ἁγίῳ πνεύματι ἀποφαινόμεθα συνοδικῶς γνώμῃ καὶ τῶν καθευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν ἵνα πάντα τὰ τοιαῦτα γράμματα τὰ συνιστῶντα καὶ κυροῦντα τὸ παντελεύθερον τοῦ μοναστηρίου τοῦ μετεώρου ὦσι τὸ βέβαιον καὶ ἀπαρασάλευτον ἔχοντα καὶ διαμένειν τὴν τοιαύτην ἱερὰν τοῦ μετεώρου θείαν μονὴν ἕως οὗ ὁ ἥλιος ἐφορᾷ αὐτοδέσποτον, ἀδούλωτον, ἀκαταπάτητον, ἀζήμιον, ἀνεπηρέαστον καὶ ἀνενόχλητον παρὰ παντὸς προσώπου ἱερωμένου ἢ λαϊκοῦ, ἀρκουμένου τοῦ κατὰ τόπον θεοφιλεστάτου σταγῶν τῷ συνήθει μνημοσύνῳ ἐν καιρῷ τῆς ἐκφωνήσεως τοῦ «ἐν πρώτοις μνήσθητι κύριε» καὶ οὐκ ἄλλοτε· καὶ ἐν τῷ τελεῖν τὰς χειροτονίας ὡς κανονικὸν δόσεως φλωρία ἢ ἄσπρων, ἄν δὲ μετὰ τὴν β^{αν} και γ^{ην} ἀξίωσιν προφάσεις ἀναξίας (προτείνη) ἀπερχέσθωσαν· καὶ διοικούμενον οὕτω κελεύομεν ; . . . .   ἐν πᾶσι καὶ τὸ μοναστήριον τοῦ μετεώρου, ὡς καὶ τὰ (ἐν ;) ἁγιωνύμῳ ὄρει θειότατα μοναστήρια προκαθεξομένου καὶ τοῦ ἡγουμένου, ὡς καὶ ἐν τούτοις καὶ τοῦ ἀρίστου ἐκλεγομένου παρὰ τῶν ἐγκρίτων τῆς ἀδελφότητος καὶ κυρουμένου αὐτοῖς μή τι γε παρ᾽ ὁτοιοῦτινος καὶ εἰσερχομένων καὶ διαγόντων καὶ ἱερωμένων καὶ μοναζόντων ὡς καὶ ἐν τοῖς μοναστηρίοις γίνεται, ὡς εἴπομεν, τοῦ ἁγίου ὄρους ἀπαραλλάκτως· ὅς δὲ ἐναντιωθῇ ἀργὸς μενέτω τῶν ἱερωμένων ὤν, τῶν μοναζόντων δὲ καὶ ἄλλων παντοίων   ἢ καὶ τῆς ἀργίας τυχὸν παραβλέπων καὶ ἀφωρισμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος αἰωνίως καὶ ταῖς ἀραῖς τῶν τιη΄ θεοφόρων πατέρων τῶν ἐν νικαίᾳ ὑπόδικος· ὅς δὲ (ὁ δέ ;) τὴν σύστασιν ἀγαπῶν καὶ τὸ ἀκαταδούλωτον συνιστῶν εὐλογημένος ἀπὸ θεοῦ. Ἐπὶ τούτοις γὰρ ἐγένετο καὶ τὸ

παρὸν ἐπιβεβαιωτήριον συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος καὶ πέμπεται τῇ σεβασμίᾳ ταύτῃ μονῇ τοῦ μετεώρου εἰς δήλωσιν καὶ ἀσφάλειαν ἐν ἔτει ἀπὸ τῆς συστάσεως τοῦ παντός.

6088 μηνὶ Ἀπριλίῳ ἰνδ. η′ (ἤτοι 1580).

Ὁ Φιλιππουπόλεως ***Θεόληπτος***, ὁ Μιτυλήνης ***Γρηγόριος***, ὁ Νικαίας ***Κύριλλος***, ὁ Φαναριοφερσάλων ***Γερμανὸς***, ὁ Ναυπάκτου καὶ Ἄρτης ***Παρθένιος***, ὁ Ζιχνῶν ***Γρηγόριος***, ὁ Δρύστρας ***Παρθένιος***, ὁ Ἀργυρουπόλεως ***Διονύσιος***, ὁ Ἀδριανουπόλεως ***Ἱερεμίας***, ὁ Ἐλευθερουπόλεως ***Σωφρόνιος***, ὁ Λαρίσσης καὶ Σταγῶν ***Ἀθανάσιος***, ὁ Ναυπλίου καὶ Ἄργους ***Διονύσιος***, ὁ Φιλίππων ***Ἀβέρκιος***, ὁ Διαυλίας καὶ Ταλαντίου ***Σωφρόνιος***, ὁ Δυρραχίου ***Παρθένιος***, ὁ Ἴμρου ***Ἰωακεὶμ***, ὁ Διδυμοτείχου ***Ματθαῖος***, ὁ Κερκύρας καὶ Ζακύνθου ***Σωφρόνιος***, ὁ Εὐρίπου ***Λαυρέντιος***, ὁ Περιθεωρίου ***Γρηγόριος*** ἔχων καὶ τὴν γνώμην τοῦ Μαρωνείας, ὁ Σοφίας ***Παρθένιος***.

Γ δ 2 (Πατριαρχ. Κώδιξ Α′ σελ. 58)

Ἴσον ἀπαράλλακτον σιγιλλιώδους γράμματος.

Νεόφυτος ἐλέῳ Θεοῦ...

Τὰ κατὰ θεῖον σκοπὸν γινόμενα πάντα καλὰ λίαν εἰσί, καὶ παρὰ Θεοῦ εὐπρόσδεκτα, καὶ μᾶλλον ὡς τῶν σεβασμίων καὶ ἱερῶν ναῶν ἀνακτίσεις καὶ ἀνοικοδομὰς ὁπόταν ζήλῳ θείῳ τινὲς ὁδηγούμενοι ἀποκαθιστῶσιν αὐτοὺς πρός τε ψυχικὴν αὐτῶν σωτηρίαν καὶ κοινὴν τῶν χριστιανῶν ὠφέλειαν, καὶ γὰρ οὐδὲν τούτου μακαριώτερον κριθείη καὶ ἀξιεπαίνετον ὥς γε καὶ Δαβὶδ ὁ θεοπάτωρ ἐπιβεβαιοῖ λέγων· «Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου». Ἐπεὶ τοίνυν καὶ ὁ ἀπὸ Κυθήρων ὁσιώτατος ἐν ἱερομονάχοις κὺρ Ἄνθιμος ὁ ἐν τῷ σεβασμίῳ μοναστηρίῳ καὶ ἡμετέρῳ πατριαρχικῷ σταυροπηγίῳ τῆς ὑπεραγίας μου Θεοτόκου τῆς ἐπανωκασριτίσσης τοῦ βουλκάνου(*) τῆς κορυφῆς τῷ ἐν τῇ ἐπαρχίᾳ Ἀνδρούσης· ἐξ ἁπαλῶν ὀνύχων τὸ ἀγγελικὸν σχῆμα ἐπενδυθεὶς καὶ χρόνους ἱκανοὺς διατρίψας καὶ ἱερομόναχος χρηματίσας, οὗτος θερμῷ ζήλῳ καὶ ἔρωτι κινηθεὶς ἀδείᾳ ἡμετέρᾳ πατριαρχικῇ σταυροπήγιον ἱερὸν ἐπήξατο ἐν τῇ τοποθεσίᾳ τοῦ Ἠλιοῦ ἐπωνόμασε πατριαρχικὸν ἡμέτερον σταυροπήγιον, ἐκ βάθρων καὶ ἐξ αὐτῶν θεμελίων ἀνέκτισε καὶ ἀνῳκοδόμησεν ἰδίοις ἀναλώμασι σεβάσμιον καὶ θεῖον ναὸν ἐπ᾽ ὀνόματι τιμώμενον τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾧ καὶ ἀφιέρωσε πάντα τὰ ἐν τῇ Κυθη-

---

(*) Ἡ παλαιὰ ὀνομασία ἦτο «Δορκάνου». Οὕτως ὀνομάζεται εἰς τὰ σιγίλλια τοῦ Ἱερεμίου Β′ (1580) καὶ τοῦ ἐκ Βερροίας Κυρίλλου (1635) οὐχὶ δὲ Ἱερεμίου ὡς ἔγραψεν ὁ Ν. Πετρῆς. («Παρνασσὸς» ἔτος Β′ σελ. 132-133). Τὸ ἐπὶ Θεοδοσίου σιγίλλιον (1769) ἀναγράφει τὸ ὄνομα Βουλκάνου καθὼς καὶ τὸ ἐπὶ Γρηγορίου Ε′ (1798).

ρία πατρικὰ καὶ μητρικὰ αὐτοῦ πράγματα καὶ κτήματα καὶ ἐδεήθη τυχεῖν καὶ ἡμετέρου πατριαρχικοῦ γράμματος, τοῦτο μὲν ἵνα ὁ ναὸς αὐτὸς εἴη ὡς πατριαρχικὸν σταυροπήγιον σὺν πᾶσι τοῖς ἐν αὐτῷ ἀφιερωθεῖσι ἀδούλωτος καὶ ἀκαταπάτητος παρά τε τοῦ κατὰ τόπον ἀρχιερέως καὶ παρὰ παντὸς ἄλλου προσώπου, τοῦτο δὲ καὶ ἵνα εἴη ὡς πατριαρχικὸν σταυροπήγιον ἡνωμένος καὶ προσηλωμένος τῷ ἡμετέρῳ πατριαρχικῷ σταυροπηγίῳ τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Ἐπανωκαστριτίσσης, τοῦ βουλκάνου τῆς κορυφῆς, καὶ μετόχιον ἐκείνου ὀνομάζεται, ὡσὰν ἔχῃ τὸ μόνιμον καὶ ἀσφαλὲς καὶ εἴη καὶ παντελεύθερον καὶ ὁ ἡγούμενος ἐκλέγεται, παρὰ τῶν ἐν αὐτῷ ἐναυκουμένων πατέρων· τούτου ἕνεκεν καὶ ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτοῦ ἀποδεξαμένη ὡς εὔλογον, γράφει καὶ ἀποφαίνεται ἐν ἁγίῳ ... ἵνα πρῶτον μὲν ὁ ναὸς αὐτὸς τοῦ Σωτῆρος Χριστοῦ, ὁ νεωστὶ ἀνεγερθεὶς ἐπ᾿ ὀνόματι πατριαρχικοῦ σταυροπηγίου, ὑπάρχῃ ἐλεύθερος καὶ ἀκαταπάτητος, ἐν πᾶσι τοῖς ἀφιερωθεῖσιν αὐτῇ πράγμασι καὶ κτήμασι κινητοῖς τε καὶ ἀκινήτοις. Ἔπειτα δὲ εἴη ἡνωμένος τῷ προειρημένῳ ἀνωτέρω θείῳ μοναστηρίῳ τῆς ὑπεραγίας μου τῆς ἐπανωκαστριτίσσης τοῦ βουλκάνου τῆς κορυφῆς, καὶ μετόχιον ἐκείνου ὀνομάζεται καὶ διοικεῖται αὐτός τε καὶ τὰ ἐν αὐτῷ ἀφιερώματα παρὰ τῶν πατέρων τῆς προρρηθείσης μονῆς τοῦ βουλκάνου μηδενὸς ἐναντιουμένου αὐτοῖς περὶ τούτου, ἢ ἀντιλέγοντος ἀλλ᾿ οὐδὲ τοῦ κατὰ τόπον ἀρχιερέως, ἐν ἀργίᾳ ἀσυγγνώστῳ καὶ ἀφορισμῷ ἀλύτῳ τῷ ἀπὸ Θεοῦ παντοκράτορος· ὅθεν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τῷ ἱερομονάχῳ κ. κ. Ἀνθίμῳ εἰς ἀσφάλειαν διηνεκῆ, ἐν ἔτει ζρκ´ μηνὶ Ἰανουαρίῳ ἰνδ. ι´·

Νεόφυτος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κων/πόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Κύριλλος ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγαλουπόλεως Ἀλεξανδρείας.

Ὁ Ἀθηνῶν **Ἄνθιμος** — ὁ Χαλκηδόνος **Τιμόθεος** — ὁ Καισαρείας τῆς (Παλαιστίνης) **Γερμανὸς**

ὁ Φιλιππουπόλεως **Ἰωάσαφ**, — ὁ Παροναξίας **Ἰωσήφ**

ὁ Ναυπλίου καὶ Ἄργους **Σωφρόνιος** — ὁ μέγας Λογοθέτης τῆς Μεγ. Ἐκκλησίας **Γεώργιος**

ὁ μέγας ῥήτωρ τῆς Μεγ. Ἐκκλησίας **Μιχαήλ.**

Γ δ 3 (Κῶδιξ Πατριαρχείου Α´, σελ. 242)

Νεόφυτος....

Τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἐπὶ συστάσει καὶ διοικήσει ἐληλυθότων ἱερωτάτων ἀρχιερέων καὶ

ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν· παραστὰς ὁ ἱερώτατος μητροπολίτης Ἀγχιάλου κὺρ Μητροφάνης .... μετὰ πολλῆς τῆς ἀγανακτήσεως καὶ ἀθυμίας ἔδειξε γράμματα παλαιγενῆ τῶν ἀοιδίμων πατριαρχῶν, τοῦ τε Νήφωνος, τοῦ Ἱερεμίου, τοῦ Ραφαήλ, τοῦ Νεοφύτου, τοῦ Τιμοθέου καὶ ἕτερα τοῦ παναγιωτάτου καὶ σοφωτάτου Πατριάρχου γέροντος κὺρ Κυρίλλου δεικνύοντα καὶ τρανῶς φανεροῦντα εἶναι ἐνοριακὰ χωρία ἔκπαλαι καὶ ἀεί, καὶ πρὸ χρόνων ἀμνημονεύτων τῆς μητροπόλεως αὐτοῦ Ἀγχιάλου, τὸ τζαλῆ καβάκι, τὸ σιμέντοβον καὶ τὸ κλινοβόν, καὶ τοὺς κατὰ καιροὺς αὐτῆς ἀρχιερεῖς προστατεύειν αὐτῶν· τὸν ἐπίσκοπον δὲ πρεσλάβας μηδέποτε φανῆναι μετοχήν τινα ἔχειν ἐν αὐτοῖς ἀλλὰ πάντα (η) παραλόγου καὶ ἀμετόχου ἐνάγειν περὶ τούτων καὶ ἐνοχλεῖν ἀναιτίως τὸν ἱερώτατον αὐτὸν ἀγχιάλου, καὶ ζημιοῦν, καὶ οὐ μόνον ἐκ τῶν παλαιγενῶν ἐκείνων γραμμάτων ἐφάνη τὸ τοῦ Ἀγχιάλου ἐνοριακὸν αὐτοῦ δικαίωμα ἐν τοῖς χωρίοις αὐτοῖς, ἀλλὰ καὶ διὰ μαρτυρίας τοῦ ἱερωτάτου μητροπολίτου Ἀδριανουπόλεως κὺρ Παρθενίου... καὶ τοῦ Φιλιππουπόλεως κὺρ Χριστοφόρου καὶ τοῦ Μεσημβρίας κὺρ Ἀκακίου .... πλησιοχώρων ὄντων ἀρχιερέων, ἐπληροφορήθημεν ἀληθῆ εἶναι ἐνοριακὰ αὐτοῦ, καὶ ὁ ἐπίσκοπος πρεσλάβας καλλίνικος, μηδεμίαν μετοχὴν κεκτημένος ἐν αὐτοῖς, οὐ παύεται ἀεννάως ἀγωγὴν ἄλογον κινεῖν περὶ τούτων καταπατεῖν αὐτά, καὶ γράμματα κατ' ἀπάτην λαμβάνειν πατριαρχικά, προτρέποντα τάχα αὐτῷ, ἔχειν ταῦτα, καὶ μάλιστα ἐπὶ τῶν ἡμερῶν ἡμῶν, ἡνίκα προνοίᾳ θεοῦ καὶ προσκλήσει καὶ ἐκλογῇ τῶν ἱερωτάτων ἀρχιερέων, τῶν τιμιωτάτων κληρικῶν καὶ εὐγενεστάτων ἀρχόντων καὶ παντὸς τοῦ λαοῦ ἀνήχθημεν εἰς τὸν θρόνον τῆς Κ/πόλεως ἔλαβε γράμμα ἀποφαῖνον εὑρίσκεσθαι ταῦτα ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ καὶ δεσπόζειν ὡς ἰδίων, καὶ κακῶς καὶ παρὰ κανόνας καὶ ἐξουσιάζει ἤδη αὐτῶν, τὸν γνήσιον αὐτῶν ἀρχιερέα ἀδικῶν, ὅπερ (ὡς ἀνωτέρω ἔγνωμεν) ἄδικόν ἐστι, καὶ τοῖς νόμοις ἀπᾷδον, λοιπὸν ἡ μετριότης ἡμῶν ὀφειλομένως ἔχουσα ἑκάστῳ ἀπονέμειν τὸ ἑαυτοῦ δίκαιον, καὶ μὴ ἀνεχομένης τοὺς ὑφ' ἑαυτὴν ἀρχιερεῖς καταπατεῖν τοῦ ἑτέρου τὰ ὅρια, δέον ἔκρινε καὶ ἀπεφήνατο, ἐν ἁγίῳ πνεύματι, γνώμῃ κοινῇ συνοδικῇ ἵνα πάντων τῶν π/χικῶν γραμμάτων τοῦ ἐπισκόπου πρεσλάβας καλλινίκου, ὡς παραλόγως δοθέντων, καὶ κατὰ συναρπαγὴν, καὶ τοῦ πρὸ ὀλίγου ὡσαύτως ἡμετέρου, ἢ καὶ ἀπὸ τοῦ νῦν δοθησομένων αὐτῷ καθ' οἱονδήτινα τρόπον, ἀκύρων μενόντων καὶ ἀνισχύρων καὶ εἰς οὐδὲν λογιζομένων, ὁ ἱερώτατος αὐτὸς Ἀγχιάλου κὺρ Μητροφάνης, ἔχῃ τὰ χωρία ταῦτα, τὸ τζαλῆ καβάκι, σιμέντοβο, καὶ τὸ κλινοβὸν ὑποκείμενα τῇ μητροπόλει ταύτῃ Ἀγχιάλου, ὡς ἔκπαλαι ἐνοριακὰ αὐτῆς ὄντα, ἀναφαιρέτως καὶ ἀναποσπάστως εἰς τὸν ἑξῆς ἅπαντα χρόνον καὶ διοικῇ αὐτὰ καὶ καρποῦται τὰ ἐξ αὐτῶν ἐκκλησιαστικὰ εἰσοδήματα καὶ τὰ δικαιώματα κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτοῦ, καὶ ἐκτελῇ γνη-

σίως πάντα τὰ ἀρχιερατικὰ ἐν αὐτοῖς, καὶ τὰς τυχούσας χειροτονίας ποιεῖν, μετὰ τῆς καὶ τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὡσαύτως καὶ οἱ μετ᾿ αὐτὸν κατὰ καιροὺς ἀρχιερεῖς. Ὁ ἐπίσκοπος δὲ πρεσλάβας Καλλίνικος καὶ οἱ μετ᾿ αὐτόν, μηδόλως τολμήσωσιν αὖθις κατεπεμβῆναι τῶν ἀλλοτρίων αὐτῶν χωρίων καὶ ἀρχιερατικόν τι τελέσαι, καὶ ἁρπάσαι πολὺ ἢ ὀλίγον τῶν εἰσοδημάτων αὐτῶν καὶ σκάνδαλόν τι προξενῆσαι τῷ μητροπολίτῃ Ἀγχιάλου κὺρ Μητροφάνει καὶ ζημίαν τινά, ἐναντιούμενοι ταῖς τῶν τοσούτων γραμμάτων ἀποφάσεσι καὶ τῇ τοῦ ἡμετέρου· εἰ δ᾿ ἄλλως γένηται, οὐ μόνον ἀργοὶ ἔστωσαν πάσης ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως, καταφρονοῦντες δὲ τῆς ἀργίας καὶ ἀφωρισμένοι καὶ ἄξιοι τῆς καθαιρέσεως, ἀλλὰ καὶ μείζονι παιδείᾳ ὑποπεσοῦνται, διὰ τὸ τῆς ἀδικίας καὶ παρ᾿ ἐνορίας (sic) (243) ἔγκλημα, ὀφειλόντων καὶ τῶν ἐν τοῖς τρισὶν ἐνοριακοῖς αὐτοῖς χωρίοις, δηλαδὴ τζαλῇ καβάκι, συμεντόβῳ καὶ κλινοβῷ εὑρισκομένων χριστιανῶν, ἱερωμένων τε καὶ λαϊκῶν, αὐτὸν καὶ μόνον τὸν ἱερώτατον ἀγχιάλου κὺρ μητροφάνην γινώσκειν γνήσιον καὶ καθολικὸν αὐτῶν ἀρχιερέα τε καὶ προστάτην καὶ ποιμένα πνευματικὸν καὶ τιμᾶν καὶ ἀγαπᾶν καὶ πείθεσθαι καὶ ὑποτάσσεσθαι αὐτῷ, ὡς κανονικόν τε καὶ δίκαιον, καὶ μνημονεύειν τοῦ ὀνόματος αὐτοῦ (ὡς εἴθισται) καὶ παρέχειν εὐγνωμόνως τὰ ἐκκλησιαστικὰ αὐτοῦ εἰσοδήματα καὶ δικαιώματα, τὰ κανονικὰ τῶν ἱερέων, τὰ συνοικέσια, τὰς πανηγύρεις, τὴν ζητίαν καὶ τὰ λοιπὰ συνήθη δικαιώματα τῷ τόπῳ καὶ μὴ κατά τι ἐναντιοῦσθαι αὐτῷ ἢ ἀντιλέγειν, ἂν δέ τις παρὰ ταῦτα πράξῃ καὶ πρὸς τὸν ἐπίσκοπον Πρεσλάβας Καλλίνικον, ἢ καὶ τὸν μετ᾿ αὐτὸν δῷ δικαίωμά τι, ἐκκλησιαστικόν, ὁ τοιοῦτος ἱερεὺς μὲν ὢν κλπ.....

Ἐν ἔτει σωτηρίῳ ,αχλστ´ μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος ε´.

Ὁ Ἐφέσου **Μελέτιος**	ὁ Ἡρακλείας **Ἰωαννίκιος**	ὁ Λαρίσσης **Γρηγόριος**	ὁ Νικομηδείας **Νεόφυτος**
ὁ Λακεδαιμονίας **Ἰωάσαφ**	ὁ Σερρῶν **Δανιὴλ**	ὁ Ἀδρ/πόλεως **Παρθένιος**	ὁ Κυζίκου **Ἄνθιμος**
ὁ Γάνου καὶ Χώρας **Ἰάκωβος**	ὁ Θεσσαλονίκης **Δαμασκηνὸς**	ὁ Ἀθηνῶν **Δανιὴλ**	ὁ Ἰωαννίνων **Παρθένιος**
ὁ Ἀμασείας **Ἰεζεκιὴλ**	ὁ Φαναρίου **Εὐθύμιος**	ὁ Βερροίας **Ἰωαννίκιος**	ὁ Φιλιππουπόλεως **Χριστοφόρος**
ὁ Νικαίας **Πορφύριος**	ὁ Κορίνθου **Κύριλλος**	ὁ Μεσημβρίας **Ἀκάκιος.**	

Γ δ 4 (Α´ κώδ. σελ. 412)

Ἰωαννίκιος κτλ.

Ἰατρικὸς ὁ νόμος ἀφορῶν πρὸς λυσιτέλειαν τῶν σωμάτων μεθαρμόζειν πρὸς τὰς τῶν καιρῶν τροπάς τε καὶ ἀλλοιώσεις καὶ ἐκ παντὸς τρόπου διώ-

κειν τὸ τέλος τῶν σωμάτων· περιποιητικὸν γάρ ἐστιν ὑγείας καὶ σωτηρίας ὡς ἀφαιρεῖσθαι μὲν ὅσα περιττά, ἀναπληροῦσθαι δὲ τὰ ἐλλείποντα, καὶ οὐδεὶς οἶμαι τῶν νόμοις ἀντιθεμένων ἀντειπεῖν ἰσχύσειε· καὶ οὐχὶ καὶ τοῦ ὑγιοῦς ἐνίοτε πάσχοντος μέρους τὸ πεπονθὸς οἰκονομίᾳ θεραπεύομεν; ἐπειδὴ λοιπὸν ὡς ἔγνωμεν καὶ κατὰ τὴν ἐπαρχίαν τοῦ μητροπολίτου γάνου καὶ χώρας εἰς χεῖρας εὑρισκόμενον μονύδριον εἰς ὄνομα τιμώμενον τοῦ μεγαλομάρτυρος γεωργίου ξυλίτη λεγόμενον, δεῖται ἐπιμελείας καὶ ἀναστηλώσεως, ἡ μετριότης ἡμῶν ὡς θεόθεν ἐμπιστευθεῖσα καὶ ἐγχειρισθεῖσα τὴν τῶν ψυχῶν πνευματικὴν ἐπιμέλειαν καὶ τῶν ἐπ᾽ ὠφελείᾳ συντεινόντων πᾶσι τοῖς εὐσεβέσι δεῖν ἔγνω μετὰ τῶν λοιπῶν ἐπισκέψασθαι καὶ τὸ παρὸν καὶ μὴ καταλιπεῖν ἀτημέλητον τὸ μὲν ὡς χρέος ἔχουσα πρόνοιαν περὶ τῶν τοιούτων ποιεῖσθαι, τὸ δὲ ὡς ὀφθαλμοῖς ἰδίοις ἰδοῦσα τὸ ἄπορον τοῦ μονυδρίου αὐτοῦ, ὃ οὖν ἐν αὐτῷ πρὸ χρόνων εὑρισκόμενος μοναχὸς κὺρ μακάριος καὶ οἱ μετ᾽ αὐτοῦ ἐνδείᾳ πολλῇ πιεζόμενοι καὶ στενοχωρίᾳ καὶ μὴ δυνάμενοι διακυβερνᾶσθαι, ἔγνωσαν δεῖν παραλαβεῖν καὶ ἄλλους μεθ᾽ ἑαυτῶν δυναμένους καὶ τὸ μοναστήριον διοικεῖν, καὶ ἑαυτοὺς σώζειν, καὶ φροντίζειν τῆς τῶν ψυχῶν αὐτῶν σωτηρίας, καὶ προσέτι παραμυθίας τυγχάνειν τοὺς ἐκεῖσε διαπερῶντας ξένους καὶ ἡμεδαπούς, καὶ δὴ εὗρον, ὡς λέγεται, κατὰ τὴν καρδίαν αὐτῶν τὸν Νικόλαον ἄνδρα χριστιανόν, εὐσεβῆ καὶ θεὸν φοβούμενον, ἐπὶ τῷ συνοικῆσαι αὐτοῖς. Ὁ καὶ διὰ δαπάνης αὐτοῦ ἰδίας ἄνευ βίας τινὸς καὶ ἐπαναγκάσεως αὐτοπροαιρέτως ὑποσχεθεὶς ἀναστηλῶσαι αὐτό, καὶ εἰς κρείττονα τάξιν ἀγαγεῖν, οὐ δι᾽ ἄλλό τι ἢ διὰ τὸ ἡσύχως διαβιῶσαι βουλόμενος τὸν τῆς ζωῆς αὐτοῦ χρόνον, μετὰ τῶν ἐν αὐτῷ εὑρισκομένων μακαρίου μοναχοῦ, παρθενίου ἱερομονάχου, καὶ σωφρονίου ἱερομονάχου οἵτινες ζητήσαντες καὶ παρὰ τῆς ἡμῶν μετριότητος χάριτός τινος καὶ βοηθείας τυχεῖν, ὥστε διάγειν ἀταράχως, καὶ ἀνενοχλήτως καὶ ἀκαταζητήτως, ἀνήγγειλαν τὰ πάντα λεπτομερῶς, τά τε ἐπιβλαβῆ καὶ τὰ συμφέροντα αὐτοῖς, παρά τε τῶν οἰκείων καὶ πέλας ἐπισυμβαινόντων· καὶ περὶ τούτου ἠθέλησαν γενέσθαι ἐλεύθερον τὸ μονύδριον αὐτό, ἀκαταζήτητον καὶ ἀκαταπάτητον παρὰ παντὸς προσώπου, ἐλευθερίας τυχὸν παντελοῦς. Ἡ μετριότης οὖν ἡμῶν ὡς θεόθεν ἐμπιστευθεῖσα τὴν τῶν ψυχῶν πνευματικὴν θεραπείαν, καὶ τῶν ἐπ᾽ ὠφελείᾳ συντεινόντων πᾶσι τοῖς εὐσεβέσι, ἐπὶ τὸν οἰκουμενικὸν καὶ πατριαρχικὸν θρόνον προβιβασθεῖσα, καὶ χρέος ἔχουσα ἀπαραίτητον τὰς ἁπανταχοῦ ἐκκλησίας καὶ μοναστήρια περισκοπεῖν καὶ εἰς τάξιν ἄγειν, τὴν αἴτησιν αὐτῶν μὴ παριδοῦσα ὡς εὔλογον οὖσαν καὶ θεοφιλῆ, δεῖν ἔγνω μετὰ τῶν λοιπῶν ἐπισκέψασθαι καὶ τὸ παρόν, καὶ μὴ καταλιπεῖν ἀδιόρθωτον, καὶ δὴ ἀποφαίνεται διὰ τοῦ παρόντος πατριαρχικοῦ καὶ συνοδικοῦ καὶ σιγιλλιώδους γράμματος, ἵνα τὸ μοναστήριον αὐτὸ εἰς ὄνομα τιμώμενον τοῦ μεγάλου Γεωργίου τὸ πλησίον τοῦ ποταμοῦ τὸ παρὰ τῶν προρρηθέντων διοικούμενον τοῦ τε μακαρίου, παρθενίου ἱερο-

μονάχου, νικολάου καὶ σωφρονίου ἱερομονάχου εἴη ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον ἐλεύθερον, ἀδούλωτον καὶ ἀκαταπάτητον παρὰ παντὸς τοῦ κατὰ καιρὸν ἀρχιερατεύοντος μητροπολίτου γάνου καὶ χώρας, ὡς μηδεμίαν ἄδειαν ἔχοντα καταπατεῖν αὐτό, ἢ λαμβάνειν παρ᾽ αὐτῶν πολὺ ἢ ὀλίγον· χρέος ἔχοντας μόνον τοὺς ἐν αὐτῷ μνημονεύειν τοῦ ὀνόματος τοῦ μητροπολίτου παρρησίᾳ ἐπ᾽ ἐκκλησίας κατὰ τὴν συνήθειαν· τοῦ δὲ λοιποῦ εἶναι παρ᾽ αὐτοῦ ἀνενόχλητον ὡς παντελεύθερον. Πρὸς δὲ τούτοις μὴ ἐμποδὼν εἴη καὶ τοῖς βουλομένοις ἀφιερῶσαι τι τῷ μοναστηρίῳ αὐτῷ ξένοις τε καὶ ἐντοπίοις μήτε ἔχειν ἄδειαν τὸν κατὰ καιροὺς ἀρχιερατεύοντα κατὰ τὴν μητρόπολιν ταύτην ἀργεῖν ἢ ἀφορίζειν τοὺς ἐν αὐτῷ εὑρισκομένους ἱερομονάχους ἢ μοναχοὺς χρείας οὔσης, ἢ εἰσάγειν ἢ ἐξάγειν οὓς ἂν αὐτὸς βούλοιτο ἀλλ᾽ ἐπὶ τὴν ἐμὴν ἀναφέροιτο μετριότητα τὰ ἐπταισμένα αὐτοῖς. Ἐπὰν δέ τις αὐτοῖς ἀπαρέσκῃ αὐτοὶ καθ᾽ ἑαυτοὺς (καθ᾽ ἑαυτῶν γράφει) ποιοῖντο τὴν διόρθωσιν. Ταῦτα πάντα βουλόμεθα μένειν ἀπαρασάλευτα καὶ ἀδιάσειστα· ἂν δέ τις τῶν πάντων βουληθείη ἀθετῆσαι τὰ παρόντα, καὶ ὑποτάξαι αὐτοὺς μακάριον τὸν μοναχὸν, παρθένιον ἱερομόναχον καὶ καταδουλῶσαι ἐλευθερίας ἁπάσης τυχόντας παρὰ τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καταφρονητὴς φανεὶς τῶν πατριαρχικῶν τούτων γραμμάτων, ἀφωρισμένος εἴη παρὰ πατρὸς υἱοῦ καὶ ἁγίου πνεύματος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος, κ. τ. λ ..... ἐπὶ γὰρ τούτῳ ἐπεδόθη αὐτοῖς τοῖς ἐν τῷ μονυδρίῳ αὐτῷ τὸ παρὸν τῆς ἡμῶν μετριότητος σιγιλλιῶδες γράμμα.

Ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ ἑβδόμῳ.

† ὁ γάνου καὶ χώρας Παΐσιος

Γ δ 5 (Ἐθν. Βιβλ. Παρισίων, Supplém. grec 1281 ἀρ. 3).

Καὶ τὰς παραδόσεις τὰς ἀρχαίας καὶ τὰ καλλῶς (sic) ἔχοντα ἄξιον ἀσφαλείας τυγχάνειν κατὰ καιρὸν τὸν προσήκοντα, ἧς ἄνευ οὐδὲν τῶν δρωμένων οἷον ἂν ἦν ἔχειν διαμονήν τινα καὶ ἰσχύν, τάξει γὰρ πάντα διοικεῖται καὶ φέρεται ἣν ἡ καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλη ἐκκλησία φυλάττουσα βεβαιώσει ἀξιοῦν ὀφείλει τὰς καλλῶς (sic) ἐχούσας τῶν παλαιγενῶν ὑποθέσεων. Τῆς μετριότητος οὖν ἡμῶν συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καὶ τῶν παρευρεθέντων ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, ἐνεφανείστισαν (sic) γράμματα παλαιγενῆ ἐλευθεροσωτήρια τοῦ σεβασμίου καὶ βασιλικοῦ μοναστηρίου τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ εἰς τὸ μετέωρον ἅπερ ἐξεδόθη αὐτῷ παρὰ τῶν κατὰ καιρὸν πατριαρχῶν καὶ τοῖς ἐν αὐτῷ ἀσκουμένοις ὁσίοις πατράσι εἰς σύστασιν αἰώνιον ὥστε εἶναι τοῦτο ἐλεύθερον καὶ αὐτόνομον ὡς καὶ τοῖς ἐν Ἁγίῳ Ὄρει τοῦ

Ἄθω μοναστηρίοις· διὸ καὶ παρ᾽ ἡμῶν ἐπικυρωθῆναι τὰ τοιαῦτα ὡς προστατευομένων τῶν ἐνταῦθα ἀσκουμένων ὁσιωτάτων πατέρων τῆς μονῆς ταύτης ὅπως εὐλόγως καὶ κανονικῶς ἔχουσι εἰς μείζονα διαμονὴν τοῦ μοναστηρίου αὐτοῦ γράφομεν συνοδικῶς ἐν ἁγίῳ πνεύματι καὶ ἐπιβεβαιοῦμεν ἵνα (;) τὸ αὐτὸ μοναστήριον εἰς ὄνομα τιμώμενον τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ καὶ διακελεύομεν πάντη ἐλεύθερον, ἀδέσποτον, ἀδούλωτον, ἀνεπηρέαστον καὶ ἀκαταπάτητον παρὰ παντὸς προσώπου, ἐκφωνουμένου τοῦ κατὰ καιρὸν ἐπισκόπου Σταγῶν τοῦ ὀνόματος ἐν τῷ ἐν πρώτοις μνήσθητι κύριε καὶ οὐκ ἐν ἄλλῳ καιρῷ· ὅταν δὲ χειροτονίας καιρὸς ᾖ ἱερέως τινὸς τῶν ἐν αὐτῷ μοναχῶν ἢ ἱεροδιακόνου, προσκαλούμενος παρὰ τῶν ἐν αὐτῷ ἀσκουμένων..... μοναχῶν ἐκτελείη τὰς χειροτονίας εἴτε ἐν τῷ μοναστηρίῳ αὐτῷ εἴτε ἐν ἄλλῳ τόπῳ ὅπου ἂν οἱ πατέρες βούλοιντο οἱ ἐν αὐτῷ ἀσκούμενοι, ἀλλὰ καὶ οἱ περιοδεύοντες ἱερομόναχοι εἴησαν ἐκτελοῦντες ἐν τῇ μονῇ ταύτῃ τὴν ἱερὰν μυσταγωγίαν ἀνεμποδίστως, ὡς καὶ ἐν πᾶσι τοῖς βασιλικοῖς μοναστηρίοις γίνεται παρὰ μηδενὸς κωλυόμενοι ἢ ἐνοχλούμενοι. Οἱ δὲ κληρικοὶ τῶν σταγῶν καὶ λοιποὶ ἱερεῖς οἱ γυναῖκας ἔχοντες μὴ ἔχωσιν ἄδειαν ὅλως ἱερουργεῖν ἐν αὐτῷ τῷ μοναστηρίῳ πολλῶν ἕνεκα, καθὰ καὶ τὰ παλαιγενῆ ἐντέλλονται γράμματα, μήτε ἀπαιτεῖν παρὰ τῶν ἐν αὐτῷ ἱερομονάχων μηδὲν ὅλως τρόπῳ τινὶ δικαιολογίας χρώμενοι, μήτε ἄλλο πρόσωπον ὅλως ὅ οὐκ ἂν διατάττόμεθα· καὶ τὰ τῶν μοναζουσῶν μετόχια αὐτοῦ ὡς ἐνταῦθα ὄντα καὶ κοινοβιακῶς διαγουσῶν τῶν καλογραιῶν τῶν ἐν αὐτοῖς καὶ ἐργαζομένων ὑπὲρ αὐτῶν μὴ ἐνοχλεῖσθαι τὸ σύνολον παρὰ τοῦ κατὰ καιρὸν ἐπισκόπου Σταγῶν ἀπαιτοῦντος κληρονομίαν τινὰ τῆς ἀποθανούσης καλογραίας ὡς ἀνόσιον πάντη καὶ ἐπίψογον, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου τοῦ παρὰ θεοῦ παντοκράτορος· τὸν δὲ ἡγούμενον ἐκλέγεσθαι παρὰ τῶν ἐγκρίτων τῆς ἐν Χριστῷ αὐτοῦ ἀδελφότητος τοῦ σωματείου καὶ ὑπηκόου αὐτοῦ, καὶ προβιβάζεσθαι χρόνους τρεῖς ἢ καὶ πλείω (sic) τούτους διαδραμόντας κατὰ τὴν αὐτῶν ἀρέσκειαν καὶ οὐ πρὸς ἕτερόν τι τέλος. Καὶ μηδεὶς τῶν ἀρχιερέων τῶν Σταγῶν ἐπὶ προφάσει τινὶ παρανόμῳ ἀργίαν καθυποβαλεῖν τινα τῶν ἱερομονάχων...... (διάτρητος ἡ μεμβράνη)....... ἱερουργεῖν αὐτοὺς κατά τι ἢ ζημιοῦν ὁπωσδήποτε ὡς (ἐξουσίαν) ἀνεξάρτητον ὂν καὶ ἀκαταζήτητον, τοὺς μοναχοὺς καὶ ἱερομονάχους τοὺς ἐν τῷ βασιλικῷ αὐτῷ καὶ ἐλευθερίας τυχόντι μοναστηρίῳ τῷ ὄντι ἐν τῷ μετεώρῳ, καὶ τοὺς ὑπὸ τὴν ὑποταγὴν αὐτῶν εὑρισκομένους ἱερεῖς ἐν τοῖς μετοχίοις αὐτῶν. Ταῦτα πάντα βούλεται ἡ μετριότης ἡμῶν μένειν ἀμετακίνητα καὶ ἀδιασάλευτα μέχρι (παντός;) βεβαιωθέντα καὶ ἀσφαλεισθέντα (sic) διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγιλλιώδους γράμματος. Εἰ δέ τις τῶν πάντων βουληθῇ ἀθετῆσαι τὴν παροῦσαν ἡμετέραν ἀπόφασιν, καὶ τὰ πάλαι τῶν ἀοιδίμων πατριαρχῶν παλαιγενῆ γράμματα τὰ ἐπικυρωτικὰ (γρ. ἐπικυροτικὰ)

καὶ ζημίαν τινὰ προξενῆσαι αὐτοῖς, τῶν ἀρχιερέων μὲν οὖν ἢ ἱερέων ἀργὸς εἴη πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως, καταφρονῶν δὲ τῆς ἀργίας καὶ μείζωνι (sic) ὑποκείσεται παιδεύσει ὡς ἄξιος καθαιρέσεως καὶ ἀργίας· τῶν λαϊκῶν δὲ καὶ ἰδιωτῶν ἀφωρισμένος παρὰ θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ ἄλυτος μετὰ θάνατον αἰωνίως καὶ τυμπανιαῖος· ἐχέτω δὲ καὶ τὰς ἀρὰς τῶν 318 κλπ. ..... Ἐπί γε τοῦτο ἐγράφη τὸ παρὸν τῆς ἡμῶν μετριότητος βεβαιωτικὸν καὶ σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τοῖς ἐν αὐτῷ τῷ μοναστηρίῳ μοναχοῖς εἰς διηνεκῆ μνήμην ,αχνα΄ μηνὶ Ἰουνίῳ Ἰνδικτ. δ΄.

Ἰωαννίκιος ἐλέῳ Θεοῦ κ. λ. π.

ὁ Ἡρακλείας ***Μεθόδιος*** ὁ Κυζίκου ***Ἄνθιμος*** ὁ Νικομηδείας ***Κύριλλος*** ὁ Νικαίας ***Πορφύριος*** ὁ Ἀδριανουπόλεως ***Νεόφυτος***

ὁ Φιλιππουπόλεως ***Γαβριὴλ*** ὁ Κασσανδρείας ***Θεοφάνης,*** ὁ Καφᾶ καὶ Φούλων ***Κύριλλος*** ὁ Διδυμοτείχου ***Ἰάκωβος***

ὁ Ἀγαθουπόλεως ***Φιλόθεος***

Γ δ 6 (Supplément grec 1292)

Τιμόθεος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Πεκίου καὶ πρώτης καὶ νέας Ἰουστινιανῆς.

Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος δηλοποιοῦσα ὅτι ἔχοντα κατὰ τὴν παλαιὰν συνήθειαν ἣν εἶχον τὰ μοναστήρια, καθὰ διακελεύουν οἱ θεῖοι καὶ ἱεροὶ νόμοι.... καὶ ἀφερεῖν (sic) τῶν μοναχῶν (sic) ἀφάνισε τὴν ἄνω μονήν· ἰδόντες γοῦν τὴν ἀφάνειαν καὶ ἐδίοξα (sic) αὐτὸν καὶ εὗρον τὸν κὺρ Φιλάρετον ἱερομόναχον ἄνδρα ἐνάρετον καὶ μαρτυρημένον ὑπὸ (τὸν μοναχὸν) καὶ ἑτέρον ἀνδρὸν οὐ κολίγον (sic) ἐποίησα αὐτὸν ἡγούμενον εἰς τὸ ἄνοθ (sic) μονασιήριον καὶ ἐπαραδόσαμε εἰς τὰς χεῖρας αὐτοῦ τοῦ ἀνακενὴν (sic) καὶ καλλιεργεῖν τὴν γὴν αὐτοὺ (sic) καὶ τὰ μετόχια ἅπερ ἔχει μὴ ἐμποδιζόμενος ὑπό τινος καὶ δίδομεν αὐτὸν ἄδειαν ὃς (sic) ποιμὴν νὰ καννη (sic) καλογέρους καὶ νὰ εὐγάζῃ καθὼς εἶναι ἡ συνήθεια τῶν μοναστηρίων. Εἴ τις ὁ πόταν (sic) εὑρεθείη κανεὶς σκανδαλοποιὼς (sic) ἀπὸ τοὺς ἀδελφούς, νὰ τὸν νουθετῇ καὶ ἡ μὲν οἴκουσε (sic) .... (εἰ δὲ μὴ) νὰ τὸν εὐγάζῃ ἀπὸ τὸ μοναστήριον καὶ αὐτὸς νὰ τὸ κυβερνᾷ καὶ νὰ τὸ.... καὶ ἴτη (sic) εἶναι χρεία· καὶ οἱ πατέρες νὰ εἶναι εἰς τὴν ὑποταγὴν τοῦ ἄνωθε ἡγουμένου τῶν «***ἠλιάνων***» (*) καὶ νὰ των (sic) ὑποτασσονται (sic). Καὶ τότε θέλουν

(*) Εἷς τῶν 40 μαρτύρων λέγεται Ἡλιανός· μήπως ἔχει σχέσιν τὸ μοναστήριον τῶν Ἡλιανῶν μὲ τὸν ἅγιον αὐτόν;

ἔχην (sic) ἀφ' ὑμῶν εὐχὴν καὶ εὐλογίαν, οὕτω γενέσθω ὡς γράφομεν ἵνα τοῦ θεοῦ ἡ χάρις καὶ τὸ ἔλεος ἔστη μεθ' ὑμῶν. Ἀμήν.

Γε 1 (Κῶδιξ Πατρ/κὸς Β', σελ. 6)

(Ἐπὶ Πατριάρχου Τιμοθέου)

Πρῶτον ἐπίσκοπος (ὁ Ἱερεμίας) πολυανῆς χειροτονηθεὶς ὕστερον ἔλαβε λόγῳ μεταθέσεως τὴν ἐπισκοπὴν Κίτρους, κακεῖσε συνεργίᾳ, τοῦ μισοκάλου δαίμονος ἐξαίφνης ἐπιδρομῆς γενομένης ὑπὸ θαλασσίων ληστῶν καὶ ἐναντίον τῆς κραταιᾶς ἡμῶν βασιλείας καὶ ἐρημωσάντων ὁ δικαστὴς τοῦ τόπου καὶ οἱ λοιποὶ ἀξιωματικοὶ τῶν κρατούντων καὶ ἐξουσιασταὶ νομίσαντες τὴν ἐπιβουλὴν ταύτην καὶ ἐνέδραν, ἣν ἔπαθον, ὑπὸ τοῦ αὐτοῦ ἐπισκόπου καὶ τῶν λοιπῶν ἐντοπίων χριστιανῶν γεγονέναι πολλοὺς ἐξ αὐτῶν ἀπέκτειναν καὶ ἐθανάτωσαν, αὐτὸς δὲ φυγῇ χρησάμενος διεσώθη στερηθεὶς ἁπάσης τῆς περιουσίας αὐτοῦ καὶ μείνας γυμνὸς καὶ ἄπορος περινοστῶν καὶ περιερχόμενος ἀπὸ τόπου εἰς τόπον ἐλεημοσύνης καὶ ἐπικουρίας δεόμενος χειροτονηθέντος ἑτέρου ἐν τῇ ἐπαρχίᾳ αὐτῇ τοῦ κὺρ Ἱερεμίου, ὅς μὴ καταφέρων μηδὲ ἀνεχόμενος τὰς τοιαύτας θλίψεις καὶ στενοχωρίας καὶ τὰς ἐκ τόπου εἰς τόπον μεταβάσεις προσέπεσε τῇ καθ' ὑμᾶς ἱερᾷ τῶν ἀρχιερέων συνόδῳ καὶ ἐδεήθη ἐμπόνως ἀκυρωθῆναι τὴν μετάθεσιν αὐτοῦ. Καὶ δὴ ἡ μετριότης ἡμῶν τὴν αἴτησιν αὐτοῦ ἀποδεξαμένη γνώμῃ κοινῇ συνοδικῇ γράφει καὶ ἐν ἁγίῳ πνεύματι ἀποφαίνεται, ἵνα ἡ μὲν ἀπὸ πολυανῆς εἰς Κίτρος γεγονυῖα μετάθεσις τοῦ αὐτοῦ θεοφιλεστάτου ἐπισκόπου κυροῦ Ἱερεμίου εἴη ἄκυρος καὶ ἀνίσχυρος, καὶ εἰς οὐδὲν λογισθῇ, αὐτὸς δὲ ὁ θεοφιλέστατος ἐπίσκοπος κὺρ Ἱερεμίας ἔχῃ ἄδειαν μετατεθῆναι ἐν ἑτέρᾳ ἐπαρχίᾳ καὶ εἴη καὶ ὀνομάζηται γνήσιος καὶ καθολικὸς ἀρχιερεὺς αὐτῆς καὶ ἱερουργῇ καὶ τὰ ἀρχιερατικὰ ἐκτελῇ μετὰ τῆς τοῦ συνθρόνου ἐγκαθιδρύσεως ἀποκριματίστως καὶ ἀναντιρρήτως. Οὕτως ἀπεφηνάμεθα συνοδικῶς. Ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον συνοδικὸν γράμμα καὶ κατεστρώθη ἐν τῷ ἱερῷ τούτῳ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας. (*)

Ἐν ἔτει 7126
5508
1618

ὁ Νικαίας ***Πορφύριος*** ὁ Ἀγκύρας ***Γρηγόριος***
ὁ Ἀμασείας ***Γρηγόριος*** ὁ Τραπεζοῦντος ***Ἰγνάτιος***
ὁ Π. Πατρῶν ***Θεοφάνης***

(*) Ἡ πρᾶξις αὕτη ὁλόκληρος ἐδημοσιεύθη ὑπὸ τοῦ Κεραμέως Παπαδοπούλου. (Ἀνάλεκτα Ἱεροσολυμιτικῆς Σταχυολογίας τόμ. Δ', σελ. 90—92).

Γε 2 (Κώδιξ Κριτίου Α', σελ. 632—633)

Περὶ ἑνώσεως ἐξαρχίας εἰς μητρόπολιν σμικρινθεῖσαν.

Ἁπασῶν τῶν παροικιῶν λόγον ἐχουσῶν μερῶν, καὶ μερῶν σώματος πρὸς ἰδίαν κεφαλήν, δηλονότι πρὸς τὴν ἤδη χάριτι θεοῦ σωζομένην, καὶ ἐπηρείας παντοίας σατανικῆς ἀνωτέραν διατηρουμένην καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν, ἀνάγκη τὸν προϊστάμενον ταύτης καὶ ὁπωσδήπως τὴν ***οἰκουμενικὴν φροντίδα*** ἐμπεπιστευμένον ὄμμασι μὲν ἀτενέσι συνορᾶν τὰ κατ' αὐτήν τε καὶ τὰ περὶ αὐτὴν ὥστε μηδὲν ἐλλιπὲς ἢ θεραπείας δεόμενον, ἀτημέλητον μένειν· δέχεσθαι δὲ καὶ ὠσὶν ἀνεπαισθήτως ἀκούειν τὰς εὐλόγους αἰτίας καὶ τὰς τοῦ ὀρθοῦ λόγου ἐχομένας ἀγγέλσεις, ἵνα διὰ τῶν δύο ἀκριβεστάτων (ἀκριβεστέρων) τῶν ἄλλων αἰσθήσεων ἀκοῆς φημι καὶ ὁράσεως εἰς τὸ ἐκκλησιαστικὸν κατευθύνοιτο σῶμα, καὶ πᾶν λυπηρὸν καὶ ὀδύνης παραίτιον εἰς τὸ θυμηδέστερον μεταφέροιτο. Ἄλλως γὰρ ἂν τὸ τῆς ποιμαντικῆς ὄνομα ψευδόμενον φαίνοιτο· ὅθεν καὶ τῆς μητροπόλεως Ἐφέσου μιᾶς οὔσης τῶν τῆς Ἑώας ἐπαρχιῶν προκαθημένης ποτὲ τῇ τε ἀξίᾳ καὶ ταῖς προσόδοις, ἤδη δὲ μακρῷ χρόνῳ τοῦ ***ζυγοῦ σπινθῆρα*** μόνον μητροπόλεως σωζομένην. Ἐπὶ τῇ πατριαρχείᾳ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γέροντος κὺρ Παρθενίου, τὴν ἐπιστασίαν τῆς μητροπόλεως αὐτῆς κανονικῶς ἀναλαβόντες ἡμεῖς καὶ τὰ κατ' αὐτὴν ἀναγγείλαντες συνοδικῶς, ἐπενοήθη ἐπὶ προσθήκῃ τινὸς δυνάμεως, τὴν φιλαδέλφειαν (φιλαδελφίαν) οὖσάν ποτε ἐξαρχίαν συναφθῆναι ταύτῃ καὶ προσκολληθῆναι, καὶ μικρὸν ἀναπληρῶσαι τῶν στερηθέντων αὐτῇ καὶ διὰ γράμματος πατριαρχικοῦ σιγιλλιώδους τὴν ἕνωσιν ταύτην ὁ τότε πατριάρχης ἐπρυτανεύσατο, καὶ μέχρι πολλοῦ οὕτω διῆγεν, ἀριθμεῖσθαι δηλονότι τὴν φιλαδέλφειαν τοῖς ἐνοριακοῖς χωρίοις τῆς μητροπόλεως Ἐφέσου οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῆς πατριαρχείας τοῦ κὺρ Ἰωαννικίου τοῦτ' αὐτὸ διὰ γράμματος σιγιλλιώδους τὸ κράτος ἔσχηκε, καὶ ἀμετάθετον, μεθ' ὃ οὐκ οἴδαμεν τίνι τρόπῳ ἀπεσπάσθη μὲν τῆς μητροπόλεως Ἐφέσου ἡ φιλαδέλφεια αὕτη ἐδόθη δὲ ἐξαρχικῶς ἄλλοις κολώβωσιν οὐ τὴν τυχοῦσαν ποιήσας τῇ τε μητροπόλει καὶ τῷ ταύτης προϊσταμένῳ, καὶ δὴ τοῦ ἤδη ἀρχιερατεύοντος ἐν αὐτῇ ἱερωτάτου μητροπολίτου Ἐφέσου κὺρ Ἰγνατίου, ὑπερτίμου.... τὸ παράλογον καὶ ἄδικον συνορῶντος, καὶ ἀναγγείλαντος ***συνοδικῶς*** ἅπαν τὸ γεγονός, ὀδύνῃ κατεχομένου καὶ ζητοῦντος τὴν παρὰ τῆς ***ἱερᾶς συνόδου*** τῆς καιρίας ταύτης πληγῆς θεραπείαν, κέκριται καὶ ἀπεφάνθη συνοδικῶς τὴν μὲν φιλαδέλφειαν ταύτην κατὰ τὰ προεκδοθέντα σιγιλλιώδη γράμματα εἶναι καὶ εὑρίσκεσθαι προσκεκολλημένην καὶ ἡνωμένην ἀδιασπάστως τῇ μητροπόλει Ἐφέσου, τὰ δὲ κατὰ τούτων ἐξενεχθέντα περὶ τοῦ διασπασμοῦ ταύτης ἄκυρα εἶναι καὶ ἀνίσχυρα ὡς παράλογα καὶ οὐδεμιᾶς δικαιοσύνης μετέχοντα· ἡμεῖς τε γὰρ ὅτε τὸν θρόνον τῆς μητροπόλεως Ἐφέσου ὑπεισήλθο-

μεν, μετὰ τῆς ἑνώσεως ταύτης τὴν ἐπίσκεψιν παρελάβομεν, καὶ ἐπὶ συμφωνίᾳ τοιαύτῃ τὴν φροντίδα ἀνεδεξάμεθα ταύτης, καὶ ὁ μητροπολίτης ἤδη Ἐφέσου ἐπὶ τούτοις ἐσφραγίσθη τε καὶ ἐψηφίσθη, καὶ τὴν χειροτονίαν ἀνεδέξατο, καὶ πάντα τρόπον· τούτου χάριν ἡ μετριότης ἡμῶν γνώμῃ καὶ τῶν συνεδριαζόντων αὐτῇ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων γράφει καὶ ἀποφαίνεται ἐπιβεβαιοῦσα τὴν ἕνωσιν ταύτην ἐχόντων καὶ παρ᾽ ἡμῶν τὸ κῦρος, τὸ βέβαιον καὶ τὴν ἰσχὺν καὶ τὸ ἀμετάθετον ἡ φιλαδέλφεια αὕτη μετὰ πάντων τῶν χωρίων αὐτῆς μένῃ ἡνωμένη καὶ προσκεκολλημένη τῇ ἐπαρχίᾳ Ἐφέσου συναριθμουμένη καὶ συνταυτιζομένη τοῖς λοιποῖς χωρίοις αὐτῆς ἀδιασπάστως καὶ ἀμεταθέτως παρέχοντος μόνον κατ᾽ ἔτος τοῦ ἱερωτάτου μητροπολίτου Ἐφέσου πρὸς τὴν καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν λόγῳ χαρατζίου φλωρία τριάκοντα τρία· οἱ δὲ ἐν αὐτῇ χριστιανοὶ ἅπαντες ἱερωμένοι καὶ λαϊκοὶ ἕνα καὶ μόνον γινώσκωσι.

,αχνε΄ 1655.

Δ΄

ΜΙΚΡΑ ΑΓΓΛΟΓΡΑΙΚΙΑ (ANGLOGRAECIA)

Εἰς τὸ τέταρτον κεφάλαιον τοῦ παρόντος συγγράμματος δίδω τὸν τίτλον «ἀγγλογραικία», διότι ὄχι μόνον ἐκτίθενται αἱ κατὰ ὡρισμένας χρονικὰς περιόδους ἐπικρατήσασαι σχέσεις μεταξὺ ἄγγλων θεολόγων καὶ ἑλλήνων κληρικῶν, ἀλλὰ καὶ παρουσιάζει σχέσεις τινὰς καὶ ἀναλογίας πρὸς τὴν τόσον χρήσιμον διὰ τὴν ἱστορίαν—κατὰ τὴν ιστ΄ ἑκατονταετηρίδα— τῆς ἐκκλησίας καὶ τοῦ Γένους τῶν Γραικῶν περίφημον τουρκογραικίαν τοῦ Μαρτίνου Κρουσίου. Αἱ ἀναλογίαι καὶ ὁμοιότητες εἶναι μικραί· τούτου ἕνεκα καὶ ἐκάλεσα τὸ παρὸν τμῆμα μικρὰν ἀγγλογραικίαν. Ἑπομένως δὲν πρέπει νὰ προσδοκᾷ ἐξ αὐτῆς ὁ ἀναγνώστης μεγάλην συμβολὴν εἰς τὴν ἱστορίαν τῆς Ἐκκλησίας.

Ὅπως εἰς τὴν τουρκογραικίαν ὑπάρχουν κυριώτεροι παράγοντες ὁ Κρούσιος καὶ οἱ Ζυγομαλάδες, τοιουτοτρόπως καὶ εἰς τὴν ἐνταῦθα ὀνομαζομένην ἀγγλογραικίαν ὁ John Covel [1]) καὶ ὁ Ἰωάννης ὁ Θαλασσηνὸς εἶναι τὰ ἀξιολογώτερα ἢ μᾶλλον τὰ μόνα σχέδον πρόσωπα. Ὁ J. Covel ἐφ᾽ ὅσον ἦτο ἐν Κωνσταντινουπόλει ἱερεὺς τῆς ἐνταῦθα Βρεταννικῆς Πρεσβείας ἔπαιζε τὸ πρόσωπον τοῦ Στεφάνου Γερλαχίου. Ὅταν ἐπέστρεψεν εἰς Ἀγγλίαν ὡς «προεστὼς» (ἀνώτερος διευθυντὴς) τοῦ ἐν Κανταβρυγίᾳ (Cambridje) κολλεγίου τοῦ Χριστοῦ ἦτο ἐν σμικρογραφίᾳ κατὰ τὸν ιζ΄ ὅ,τι ἦτο ὁ Κρούσιος κατὰ τὸν ιστ΄ αἰῶνα.

Ἐπὶ τῆς ἐποχῆς τοῦ περιφήμου Κυρίλλου τοῦ Λουκάρεως ὑπῆρχεν ἐν Γενεύῃ μία ἱεραποστολικὴ ἑταιρία ἐργασθεῖσα ἐν Ἀνατολῇ ὑπὲρ τοῦ προτεσταντικοῦ καὶ εἰδικῶς τοῦ καλβινικοῦ δόγματος ἀποσκοποῦσα τοῦτο μὲν εἰς τὸ νὰ ἐξουδετερώσῃ τὰς παπιστικὰς ἐνεργείας τῶν διαβοήτων Ἰησουϊτῶν, τοῦτο δὲ εἰς τὸ νὰ προσηλυτίσῃ τοὺς ὀρθοδόξους εἰς τὸν Καλβινισμόν. Τοιουτοτρόπως καὶ ἐν Λονδίνῳ σχεδὸν συγχρόνως ἐσχηματίζετο μία ἑται-

---

(1) Ἐγεννήθη τῷ 1638 ὡς ἐξάγεται ἐκ τοῦ πρὸς τὸν Θαλασσηνὸν γράμματός του (Δ α 4).

ρία «Levant Company» τῆς ὁποίας ἱερεὺς ἦτο μετὰ τὰ μέσα τοῦ ιζ' αἰῶνος ὁ ρηθεὶς Covel διαδεχθεὶς τὸν Luke. Ὁ Covel ἦτο, ὡς ἤδη ἐσημείωσα, ἱερεὺς (chaplain) καὶ τοῦ ναΐσκου τῆς ἐν Κων/πόλει Βρεταννικῆς Πρεσβείας διαδεχθεὶς εἰς τὴν θέσιν ταύτην τὸν Thomas Smith. Ὑπὸ τὴν τελευταίαν ἰδιότητά του ὁ Covel διέμενεν ἐν Κ/πόλει ἀπὸ τοῦ 1670 μέχρι τοῦ 1677. Σύγχρονος τοῦ Covel ἦτο καὶ ὁ γνωστότατος καὶ περὶ τὰς ὑποθέσεις τῶν χριστιανῶν ἀσχοληθεὶς Paul Ricault, Ἄγγλος πρόξενος ἐν Σμύρνη. Φιλικὰς σχέσεις μετὰ τῶν ὀρθοδόξων συνῆψεν ὡσαύτως ὁ κατὰ τὴν ἰδίαν ἐποχὴν ἀκμάσας R. Huntington ἱερεὺς τοῦ ἀγγλικοῦ προξενείου (chaplain) ἐν Χαλεπίῳ. [2])

Ὁ John Covel ἐν Κων/πόλει εὑρισκόμενος συνῆψε σχέσεις φιλικὰς μετὰ ἰσχυόντων προσώπων ὁμογενῶν κληρικῶν καὶ λαϊκῶν. Ἐγνώρισε τὸν τότε μέγα κῦρος ἔχοντα Μανολάκην Καστοριανὸν παρὰ τοῦ ὁποίου καὶ συστατικὸν ἔλαβε πρὸς τοὺς πατέρας τοῦ Ἁγίου Ὄρους (ἔγγραφον Δβ 3) ἐπὶ τῷ σκοπῷ ὄχι μόνον νὰ ἐπισκεφθῇ τὸν ἱστορικὸν Ἄθωνα ἀλλὰ καὶ νὰ μελετήσῃ χειρόγραφα λαμβάνων, εἰ δεήσει, καὶ ἀντίγραφα πρὸς ἐκτύπωσιν. Ἐγνώρισεν ὡσαύτως τὸν ἰατρὸν Μανουὴλ τὸν ὁποῖον ὁ Θαλασσηνὸς ἀποκαλεῖ κοινὸν φίλον (ἔγγραφα Δα 2). Μεταξὺ τῶν γνωστῶν τοῦ Covel ἢ Κωβελίδου, ὡς γράφει ὁ Θαλασσηνὸς ἐξελληνίζων τὸ ἀγγλικὸν τοῦτο ὄνομα, πρέπει νὰ συγκαταλέξωμεν καὶ τὸν Νεόφυτον [3]) μητροπολίτην Ἀδρια-

---

([2]) George Willams, «The ortodoxe church of the East in the Eighteenth Century κτλ. σελ. XIV. Βλέπε καὶ Annual of the British school at Athens N° XII ἔτος 1905—1906 σελ. 211.

Ὁ Covel ἔχει συγγράψῃ καὶ περιγραφὰς ταξιδίων καὶ ἐκθέσεις ἀρχαιολογικάς. Ὁ J. Th. Bert ἐξέδωκεν ἐκλεκτὰ τεμάχια ἐκ τῶν τοιούτων πραγματειῶν τοῦ Covel. Ἐξεδόθησαν τῷ 1893 διὰ τὴν Ἑταιρίαν Hakluyt (Hakluyt Society). Ἐξεδόθησαν ὑπὸ τὸν τίτλον· «Extracts from the diares of Dr John Covel 1670—1679.

a) The voyage to Constantinople, Sept. 21—Dec. 31, 1669.
b) Various extracts from diaries written at Constantinople Aug. 15, 1671, May 1674.
c) Journey to Adrianople and return to Con/ple May 2 Sept. 27 1675.

Βλέπε καὶ Ebersolt, «Constantinople byzantine et les voyageurs du Levant» Paris 1918 σελ. 160 σημ. 2.

([3]) Ὁ Νεόφυτος ἦτο ἀρχιδιάκονος τοῦ μητροπολίτου Ἀδρ/πόλεως Παρθενίου τοῦ Β'. Πάντως ὁ Ἰωαννίτης Παρθένιος εἶχεν αὐτὸν παρ' ἑαυτῷ καὶ ἐν τῇ ἐπαρχίᾳ Ἰωαννίνων. Πατριάρχης γενόμενος προήγαγε τὸν ἱερομόναχον πλέον ὄντα Νεόφυτον εἰς τὴν ἄλλοτε ἔνδοξον ἐπαρχίαν τῆς Ἀδριανουπόλεως.

Τὸν μητροπολίτην Νεόφυτον ἐπεσκέφθη ὁ Covel κατὰ τὸ θέρος τοῦ 1675.

Τὸ ὑπόμνημα τῆς εἰς τὴν μητρόπολιν Ἀδρ/πόλεως προαγωγῆς τοῦ Νεοφύτου ἔχει οὕτω :

Νομ. Συναγωγὴ φύλλον 129

Τῆς ἁγιωτάτης μητροπόλεως Ἀδριανουπόλεως ἀπροστατεύτου ἤδη μεινάσης, ὡς τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκου-

νουπόλεως τὸν κατόπιν οἰκ. π/χην ἀναδειχθέντα. Εἰς τὸ χειρόγραφον 22911 Additional τοῦ Βρεταννικοῦ Μουσείου ἀπαντᾷ ἓν σημείωμα ἰδιόχειρον τοῦ Νεοφύτου. Ὁ Covel σημειώνει (σελ. 869 ἢ κατ' ἄλλην ἀρίθμησιν 424)· «this was written by himself these» (ἐγράφη ὑπ' αὐτοῦ τοῦ ἰδίου) τὸ σημείωμα ἔχει οὕτω· Ἐπιστολὴ σταλεῖσα παρὰ τῶν Ἑλλήνων πρὸς τὸν πάπαν ρώμης.

Τὴν ἰσχύν σου τὴν ἄκραν πρὸς τοὺς σοὺς ὑπηκόους ἰσχυρῶς
πιστεύομεν
τὴν ὑπερηφάνειάν σου φέρειν οὐ δυνάμεθα
τὴν φιλαργυρίαν σου κορῆσαι οὐ δυνάμεθα
ὁ διάβολος μετὰ σοῦ
ὅτι ὁ κύριος μεθ' ἡμῶν.

Ὁ Covel προσθέτει· «τὸ ὑπόλοιπον τῶν συγγραμμάτων τούτων ἔλαβον ὡσαύτως ἐκεῖθεν (The rest of these writings I took likewise from thence)· ἀμέσως ἕπονται αἱ ἑξῆς ἑλληνικαὶ λέξεις γραφεῖσαι ὑπὸ τοῦ Νεοφύτου «εἰς χρῆσιν Νεοφύτου Φιλαρέτου τοῦ ἐκ τῆς παλαιᾶς ἠπείρου.»

Ὁ Covel ἦτο ἀντιπαπιστὴς καὶ ὡς ἐκ τούτου ἐπλησίαζε ἐκ τῶν ἡμετέρων κληρικῶν τοὺς κεκηρυγμένους ἐχθροὺς τοῦ πάπα, καθὼς αὐτή, ὡς εἴδομεν, ἦτο καὶ ἡ περίπτωσις τοῦ Νεοφύτου Ἀδριανουπόλεως ἐκφρασθέντος περὶ πάπα κατὰ τὸν προμνησθέντα τρόπον. Διὰ τὸν αὐτὸν λόγον περιεποιήθη ὁ Covel καὶ τὸν ἐπίσης Νεόφυτον ὀνομαζόμενον μητροπολίτην Φιλιππουπόλεως[4]) ὡς κατωτέρω θὰ γίνῃ λόγος.

Ὁ Covel ἐν Κων/πόλει εὑρισκόμενος ἦλθε πλειστάκις εἰς ἐπαφὴν μετὰ τοῦ τότε παρὰ τῇ Ὑψηλῇ Πύλῃ πρεσβευτοῦ τῆς Γαλλίας Nointel. Ὁ

μενικοῦ πατριάρχου, ἐκλογῇ κοινῇ συνοδικῇ πάντων καὶ ψήφῳ κανονικῇ προβιβασθέντος εἰς τὸν ἁγιώτατον καὶ ὑψηλότατον πατριαρχικὸν καὶ οἰκουμενικὸν θρόνον Κωνσταντινουπόλεως, προστάξει αὐτοῦ τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κὺρ κὺρ Παρθενίου, συνήλθομεν πάντες ἡμεῖς οἱ παρευρεθέντες ἀρχιερεῖς ἐν τῷ πατριαρχικῷ ναῷ τοῦ μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου καὶ ψήφους κανονικὰς ποιησάμενοι κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ διατύπωσιν, διὰ τὴν μητρόπολιν αὐτήν, πρῶτον μὲν ἐθέμεθα τὸν ποτὲ ἀρχιδιάκονον αὐτοῦ τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου, πανοσιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κὺρ Νεόφυτον, δεύτερον τὸν ἱερομόναχον κὺρ Δαβὶδ καὶ τρίτον τὸν ἱερομόναχον κὺρ Συρίγον, διδάσκαλον. Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν ἐγράφησαν καὶ τὰ ὀνόματα αὐτῶν καὶ κατεστρώθησαν ἐν τῷδε τῷ ἱερῷ κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ͵αχμδ' ἰνδικτιῶνος ιγ'
Σεπτεμβρίῳ.

(4) Ὁ Νεόφυτος ἦτο μητροπολίτης Φιλιππουπόλεως ἀπὸ τοῦ 1683 ὁπότε ὁ Διονύσιος ὁ Δ' ἀπὸ τῆς ἐπαρχίας Φιλιππουπόλεως, τὴν ὁποίαν εἶχε λάβῃ προεδρικῶς καὶ μετὰ τὴν δευτέραν ἀπομάκρυνσιν ἀπὸ τοῦ θρόνου Κ/πόλεως, ἀνῆλθε τὸ τρίτον τὸν

πρεσβευτὴς οὗτος ἦτο Γιανσενιστὴς καὶ ὡς τοιοῦτος φίλος τοῦ Ἀρνώλδου (Arnauld) τοῦ Ρενωδότου (Renaudot), τοῦ Nicole καὶ ἀντίπαλος ἰδίως τοῦ Κλαυδίου προτεστάντου ἱερέως τοῦ Charenton (ἐν Γαλλίᾳ πλησίον τῶν Παρισίων) καὶ τοῦ Aymon. Ἐπειδὴ δὲ κατὰ τὴν ἐποχὴν ἐκείνην ὀξυτάτη ἦτο ἡ ἔρις περὶ τὸ ζήτημα τῆς μετουσιώσεως ***ἐν τῇ θείᾳ εὐχαριστίᾳ*** τῶν μὲν καθολικῶν ἰδίως δὲ τῶν τοῦ Porte-Royale ὑποστηριζόντων τὴν μετου-

---

οἰκουμ. θρόνον. Ἐποίμανε τὴν ἐπαρχίαν ταύτην μέχρι τῆς ὀγδόης Ἀπριλίου τοῦ 1711, ὁπότε παρῃτήθη κατά τι σημείωμα τοῦ διαδόχου του Καλλινίκου—κατόπιν μητροπολίτου Ἡρακλείας καὶ μετὰ τὴν παῦσιν τοῦ Ἱερεμίου ἐκλεγέντος Οἰκ. Πατριάρχου καὶ ἀμέσως ἀποθανόντος—καταχωρούμενον ἔν τινι κώδικι τῆς μητροπόλεως Φιλιππουπόλεως ἀποκειμένῳ νῦν ἐν τῇ πλουσίᾳ βιβλιοθήκῃ τοῦ νῦν Οἰκουμ. Πατριάρχου Φωτίου Β'. Κατὰ τὸ αὐτὸ σημείωμα (δημοσιευθὲν καὶ εἰς τὴν Ἐκκλησιαστικὴν Ἀλήθειαν 1913 σελ. 371) παρῃτήθη «ὡς μὴ δυνάμενος εἰς τὸ παντελὲς νὰ κινηθῇ καὶ ἦν ἀναισθητῶν δίκην λίθου». Ὡς λόγος παραιτήσεως σημειώνεται καὶ τὸ κορυφωθὲν χρέος τῆς ἐπαρχίας του. Συνεπείᾳ τῶν χρεῶν τούτων εἶχε ζητήσῃ παρὰ τοῦ Ἀλεξάνδρου Μαυροκορδάτου χρήματα ἐπὶ δανείῳ. Ὁ Μαυροκορδᾶτος ἀπαντῶν λέγει ὅτι «δὲν ἔχει οὔτε ἀρούρας, οὔτε ἐπαύλεις ἀποχρώσας». Ἀναπτύσσει καὶ μίαν θεωρίαν τὴν ὁποίαν καὶ ὁ Ἄγγλος ποιητὴς Σαίξπηρ εἶχε προηγουμένως καταχωρήσῃ εἰς τὸ δρᾶμά του Ἀμλέτ, ὅτι δηλ. ὁ δανείζων χάνει συνήθως καὶ τὰ δανεικὰ καὶ τὸν φίλον του. «Καὶ πολλάκις συνέβη διὰ ταῦτα, φίλων μὲν μὴ δανείσαντας ἀποβολὴν πεπονθέναι, δεδανεικότας δὲ καὶ φίλους καὶ χρήματα ζημιωθῆναι». Ὁ Μαυροκορδᾶτος κατακλείει τὴν ἐπιστολήν του μὲ τὴν ὁριστικὴν ἄρνησιν τοῦ δανείου. «Ἧς τινος οὖν ἄρα βοηθείας ἄλλης ἐπιδεόμενος. οὐ διαμαρτήσῃ, οὐ *γὰρ* ***ἐπισφαλὴς ἡ ἐμὴ φιλία,*** χρημάτων δὲ συναλλαγὴν εὐλαβοῦμαι, τὴν σὴν διαφυλάττων ἀγάπην ἀκραιφνῆ καὶ ἀκέραιον». (Λιβαδᾶ, «Ἐπιστολαὶ Μαυροκορδάτου» σελ 125—126). Ἐκ τοῦ γράμματος τούτου καταφαίνεται ὅτι ὁ Νεόφυτος συνεδέετο διὰ φιλίας μετὰ τοῦ μεγάλου ἐκείνου ἀνδρὸς τοῦ τέλους τοῦ ιζ' αἰῶνος. Συνεπείᾳ τοῦ πολλοῦ χρέους τῆς ἐπαρχίας του ἔλαβεν ὁ Νεόφυτος καὶ πατριαρχικὸν γράμμα πρὸς τοὺς κληρικούς, ἱερεῖς καὶ ὅλους τοὺς χριστιανοὺς τῆς ἐπαρχίας του πρὸς συλλογὴν ἐκτάκτων ἐράνων ἐκτὸς τῆς εἰσπράξεως τῶν τακτικῶν εἰσφορῶν καὶ φόρων. Τὸ μακρὸν τοῦτο περὶ ἐλεημοσύνης πατριαρχικὸν γράμμα καταχωρεῖται εἰς τὸν κώδικα Φ. Κ. α. 55-62. Ἰδοὺ μερικὰ ἀποσπάσματα τοῦ γράμματος αὐτοῦ. «Ἐπειδὴ τὸ λοιπὸν καὶ ὁ ἀρχιερεὺς ὑμῶν ἱερώτατος μητροπολίτης Φιλιππουπόλεως ὑπέρτιμος κὺρ Νεόφυτος, εὑρίσκεται εἰς μεγάλην στενοχωρίαν καὶ ἀνάγκην πολλήν, μὲ τὸ νὰ ἦναι ὑπὸ ζυγὸν βαρυτάτου χρέους τῆς ἐπαρχίας αὐτοῦ ταύτης. . . . . . (Ἀνάγκη τὸ λοιπὸν εἶναι αὐτὸς ὁ ἀρχιερεὺς ὑμῶν, κατὰ πάντα λόγον καὶ τρόπον «νὰ εὕρῃ συνδρομὴν καὶ βοήθειαν ἐξ ἀμφοτέρων τῶν μερῶν καὶ παρ' ἡμῶν δηλαδὴ καὶ ἀπὸ λόγου σας, τὸ καλὸν καὶ χριστιανικὸν αὐτὸ ποίμνιον, διὰ νὰ ἠμπορέσῃ νὰ συσταθῇ καὶ νὰ τὸ κυβερνήσῃ. . . . . .»Ὁ Πατριάρχης καὶ οἱ Ἀρχιερεῖς ἦλθον εἰς συνεννόησιν μὲ τοὺς δανειστὰς καὶ ἔγινε συγκατάβασις νὰ πληρώνηται τὸ κεφάλαιον μὲ συμπεφωνημένας καὶ μετρίας κατ' ἔτος ἀποκοπὰς «καὶ ταξίτια, τουρκικώτερον εἰπεῖν». . . . . Καὶ κατόπιν προσθέτει· «Ἐπειδὴ καὶ καλὰ τὸ γνωρίζετε ὅλοι σας πῶς αἱ ἐπαρχίαι δὲν ἔχουσιν εἰς τὸν καιρὸν τοῦτον τῆς δουλείας καὶ τῆς ταλαιπωρίας τὰ πρόσοδα ἐκεῖνα καὶ τὰς καρποφορίας καὶ τὰς βασιλικὰς φιλοτιμίας ὁποῦ εἶχαν εἰς τοὺς παλαιοὺς χρόνους τῆς ἐλευθερίας». . . . «Τούτου χάριν καὶ γράφοντες διὰ τοῦ παρόντος ἐντελλόμεθα καὶ συμβουλεύομεν πᾶσιν ὑμῖν συνοδικῶς κατὰ

σίωσιν, τῶν δὲ ἀντιθέτων (Claude) Κλαυδίου, Ἐϋμὼν καὶ τῶν Ἀγγλικανῶν, ἑπομένως καὶ τοῦ Covel, ἀρνουμένων ταύτην ἐζήτησεν ἑκάστη μερὶς νὰ ὑποστηρίξῃ τὰς ἀπόψεις της διὰ τῶν περὶ τοῦ αὐτοῦ θέματος δοξασιῶν τῆς ὀρθοδόξου Ἐκκλησίας. Τὸ ἴδιον μέχρι τινὸς ἔπραξαν καὶ οἱ Διαμαρτυρόμενοι τῆς Τυβίγγης μετὰ τὴν ἐμφάνισιν τῆς μεγάλης θρησκευτικῆς Μεταρρυθμίσεως ἐπιζητήσαντες νὰ εὕρωσι διὰ τὰς πλάνας των στήριγμα εἰς τὴν ὀρθόδοξον Ἐκκλησίαν. Καθὼς ὅμως οἱ Διαμαρτυρόμενοι τῆς Γερμανίας τοιουτοτρόπως καὶ οἱ περὶ τὸν Covel—καὶ οἱ μὲν καὶ οἱ δὲ ἄλλως Ἑλληνισταὶ καὶ φιλέλληνες—ἦσαν διατεθειμένοι μᾶλλον εἰς τὸ νὰ προσηλυτίσουν τοὺς ὀρθοδόξους εἰς τὰς περὶ Χριστιανισμοῦ ἀντιλήψεις των παρὰ εἰς τὸ νὰ ἀποδεχθοῦν τὰ ὀρθόδοξα δόγματα καὶ τὰς ὀρθοδόξους παραδόσεις. Ἐκ τῆς προσημειωθείσης περὶ μετουσιώσεως ἔριδος προέκυψαν δύο κυρίως συγγράμματα· α΄) τὸ ὑποστηρίζον τὴν ἄποψιν, κατὰ τὴν

πατρικὴν καὶ πνευματικὴν φιλοστοργίαν καὶ διάθεσιν μετὰ τῶν περὶ ἡμᾶς ἀρχιερέων ἵνα τὸν διαληφθέντα ἀρχιερέα ὑμῶν ἱερώτατον μητροπολίτην Φιλιππουπόλεως κὺρ Νεόφυτον τώρα ὁποῦ ἔρχεται σὺν Θεῷ εἰς τὰ αὐτόθι, νὰ σᾶς ἀπολαύσῃ ὅλους, τὸ λογικὸν αὐτοῦ ποίμνιον, καὶ νὰ σᾶς εὐλογήσῃ νὰ τὸν ὑποδεχθῆτε μετὰ πάσης τιμῆς, δεξιώσεως, φιλοφροσύνης καὶ ἀγάπης καὶ τῆς προσηκούσης εὐλαβείας.... Ἴσως θὰ ἐπέστρεφεν εἰς τὴν ἐπαρχίαν του μετὰ τὸ εἰς Εὐρώπην ταξίδιόν του. Προηγουμένως εἶχε μεταβῆ (1700) εἰς τὴν πατρίδα του (ἴσως τὴν Σίφνον) ζητήσας πρὸς τοῦτο τὴν κανονικὴν ἄδειαν (Documente privitoare κτλ. τόμ. XIII 1909 σελ. 393). Εἰς τὰ χειρόγραφα τοῦ Covel (ἀρ. 22911) εἶδον αὐτὸν τὸν αὐτόγραφον λόγον τοῦ Νεοφύτου τὸν ὁποῖον ἐξεφώνησεν εἰς τὴν Κανταβρυγίαν. (Βλέπε καὶ σημ. 10). Οὔτε τὸ περιεχόμενον οὔτε τὸ ὕφος τοῦ λόγου φανερώνουν σοφὸν ἄνδρα. Ἐν τούτοις ὁ Ζαβίρας ἀκολουθῶν τὸν Ἀλέξατδρον Ἑλλάδιον χαρακτηρίζει τὸν Νεόφυτον ἄνδρα σοφὸν καὶ πολυμαθῆ, εἰδήμονα τῆς ἑλληνικῆς, λατινικῆς καὶ ἰταλικῆς διαλέκτου, πεπαιδευμένον ἔν τε τῇ φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ, ῥήτορα καὶ ἱεροκήρυκα διάσημον». Διελθὼν ἐκ Γαλλίας — οὐχὶ κατὰ τὸ 1720, ὡς γράφει ὁ Σάθας— ἀλλὰ τῷ 1701 ὡμίλησεν ἰταλιστὶ μετὰ τοῦ βασιλέως τῆς Γαλλίας Λουδοβίκου ΙΔ΄ (Le Quien Oriens Christianus Α΄ σελ. 1162. Σάθα «Νεοελληνικὴ Φιλολογία» σ. 465). Ἐν Ἀγγλίᾳ εὑρισκόμενος ὁ Νεόφυτος συνῆψε σχέσεις καὶ μετὰ τοῦ γερμανοῦ Γουλιέλμου Ludolf, γραμματέως ἐν Ἀγγλίᾳ. Εἰς τὰς δύο ἐπιστολάς, τὰς ὁποίας στέλλει ὁ Γερμανὸς ἐκεῖνος πρὸς τὸν Νεόφυτον ἐμφανίζεται ὁ ἱεράρχης ἐκεῖνος ἔχων σχέσεις καὶ μὲ τὸν κακοήθη, κατὰ τὸν Ἑλλάδιον, παπᾶ Σεραφεὶμ τὸν Μιτυληναῖον, συνεργάτην τοῦ Μαξίμου τοῦ Καλλιπολίτου («παπᾶ Σεραφεὶμ ἔχει καλὴν ὑγία (sic), καὶ εἶναι κοντα εἰς τὸ τέλος μὲ τὴν καινὴν διαθήκην εἰς τὴν ἁπλῆν ρωμαίηκην γλῶσσαν»). Ὁ Νεόφυτος εἴτε ἐκ πεποιθήσεως εἴτε ἐξ ἄλλων λόγων ἰδιοτελῶν ἐν Ἀγγλίᾳ, ὡς εἴδομεν, ἐφάνη παραδεχόμενος τὰς προτεσταντικὰς περὶ θείας εὐχαριστίας ἀντιλήψεις. Ὁ λόγος του ὁ ἐκφωνηθεὶς εἰς Κανταβρυγίαν περιέχει ὄχι ὀλίγας κολακευτικὰς φράσεις διὰ τοὺς Ἄγγλους διευθυντὰς καὶ ὑποδιευθυντὰς τοῦ Φροντιστηρίου τῆς πόλεως ἐκείνης (Σάθα, Παράρτημα Νεοελληνικῆς Φιλολογίας σ. 100, 103-105). Ἰατρός τις, Σαμοθράκης λεγόμενος, ἱστοριοδίφης, γράφων εἰς τὴν Μ. Ἐγκυκλοπαιδείαν περὶ τοῦ Νεοφύτου τούτου λησμονεῖ νὰ ἀναφέρῃ ὅτι ἦτο ἀρχιερεὺς καὶ μάλιστα μητροπολίτης Φιλιππουπόλεως. «Νεόφυτος, σοφὸς καὶ πολυμαθὴς ἀνήρ, ἐκ Φιλ/λεως». (Μ. Ἑλλ Ἐγκυκλοπαιδεία, τόμ. ΙΗ΄, σ. 200β.

ὁποίαν τὴν μετουσίωσιν παραδέχεται καὶ ἡ ὀρθόδοξος Ἐκκλησία καταχωρουμένων πρὸς τοῦτο πολλῶν ἐγγράφων Πατριαρχῶν, Ἀρχιερέων Ἡγουμένων καὶ ἄλλων καὶ β') τὸ ἀνατρέπον τὸ ἀνωτέρω διὰ τοῦ διϊσχυρισμοῦ ὅτι τὰ προσαγόμενα ἔγγραφα εἶναι ψευδῆ. Καὶ τὸ μὲν πρῶτον συγγραφὲν ὑπὸ τῶν περιφήμων Γιανσενιστῶν (Jansénistes) Nicole, Arnauld καὶ Renaudot φέρει τὸν τίτλον· «Perpétuité de la foi de l'Eglise catholique sur l'Eucharistie», τὸ δὲ ἕτερον συνταχθὲν ὑπὸ τοῦ προμνησθέντος Aymon τιτλοφορεῖται· Monuments authentiques de la religion des Grecs et de la fausseté des plusieurs confessions de foi». [5]) Καὶ ὁ J. Covel ἐνδιαφερόμενος διὰ τὸ τότε φλέγον ζήτημα τοῦτο συνέγραψε τὸ κατὰ τὸ 1722 ἐκδοθὲν ἔργον του «Some account of the present Greek Church».

